Sit AB recta spatio rationali et medio aequalis quadrata in Γ ita diuisa, ut $A\Gamma$, ΓB potentia incommensurabiles sint efficientes $A\Gamma^2 + \Gamma B^2$ medium,

---

νάμεις P, corr. m. 1. 11. τῶν ἀπό] m. 2 V. ῥητῶν F. 12. δέ F. ἀτῶν P, corr. m. 1. 14. τό] corr. ex τοῦ V. 17. τό] τά V. 20. ὅπερ ἔδει δεῖξαι] comp. P, om. BFVb. 24. Post διαιρεῖται add. εἰς τὰ ὀνόματα Theon (BFVb), P m. 2.

εἶναι ποιούσας τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ μέσον, τὸ δὲ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ ῥητόν· λέγω, ὅτι ἡ ΑΒ κατ' ἄλλο σημεῖον οὐ διαιρεῖται.

Εἰ γὰρ δυνατόν, διῃρήσθω καὶ κατὰ τὸ Δ, ὥστε καὶ τὰς ΑΔ, ΔΒ δυνάμει ἀσυμμέτρους εἶναι ποιούσας τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΔ, ΔΒ μέσον, τὸ δὲ δὶς ὑπὸ τῶν ΑΔ, ΔΒ ῥητόν. ἐπεὶ οὖν, ᾧ διαφέρει τὸ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ τοῦ δὶς ὑπὸ τῶν ΑΔ, ΔΒ, τούτῳ διαφέρει καὶ τὰ ἀπὸ τῶν ΑΔ, ΔΒ τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ, τὸ δὲ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ τοῦ δὶς ὑπὸ τῶν ΑΔ, ΔΒ ὑπερέχει ῥητῷ, καὶ τὰ ἀπὸ τῶν ΑΔ, ΔΒ ἄρα τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ ὑπερέχει ῥητῷ μέσα ὄντα· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἡ ῥητὸν καὶ μέσον δυναμένη κατ' ἄλλο καὶ ἄλλο σημεῖον διαιρεῖται. κατὰ ἓν ἄρα σημεῖον διαιρεῖται· ὅπερ ἔδει δεῖξαι.

μζ΄.

Ἡ δύο μέσα δυναμένη καθ' ἓν μόνον σημεῖον διαιρεῖται.

Ἔστω [δύο μέσα δυναμένη] ἡ ΑΒ διῃρημένη κατὰ τὸ Γ, ὥστε τὰς ΑΓ, ΓΒ δυνάμει ἀσυμμέτρους εἶναι ποιούσας τό τε συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ μέσον καὶ τὸ ὑπὸ τῶν ΑΓ, ΓΒ μέσον καὶ ἔτι ἀσύμμετρον τῷ συγκειμένῳ ἐκ τῶν ἀπ' αὐτῶν. λέγω, ὅτι ἡ ΑΒ κατ' ἄλλο σημεῖον οὐ διαιρεῖται ποιοῦσα τὰ προκείμενα.

---

2. ΓΒ] in ras. V. δέ] δ' B, συγκείμενον ἐκ τῶν V. δίς] om. Theon (BFVb). ὑπό] corr. ex ἀπό V. 3. Post λέγω ras. 1 litt. F. ΑΒ εὐθεῖα V. 4. καί] om. Bb, postea add. FV. 5. καί] supra scr. V. 6. ἀπὸ τῶν — 7. ῥητόν] in ras. m. 1 F. 6. ΔΒ] ΔΒ, ΚΖ b. 7. δέ] δ' BFb, δὲ συγκείμενον ἐκ τῶν V. δίς] om. Theon (BFVb). 10. δέ] om.

$2\,A\Gamma \times \Gamma B$ autem rationale [prop. XL]. dico, AB in nullo alio puncto diuidi.



nam si fieri potest, etiam in Δ ita diuidatur, ut $A\Delta$, ΔB potentia incommensurabiles sint efficientes $A\Delta^2 + \Delta B^2$ medium, $2\,A\Delta \times \Delta B$ autem rationale. iam quoniam, quo differt $2\,A\Gamma \times \Gamma B$ a $2\,A\Delta \times \Delta B$, eo etiam $A\Delta^2 + \Delta B^2$ ab $A\Gamma^2 + \Gamma B^2$ differt, $2\,A\Gamma \times \Gamma B$ autem $2\,A\Delta \times \Delta B$ excedit spatio rationali, etiam $A\Delta^2 + \Delta B^2$ excedit $A\Gamma^2 + \Gamma B^2$ spatio rationali, quamquam media sunt; quod fieri non potest [prop. XXVI]. itaque recta spatio rationali et medio aequalis quadrata non diuiditur in punctis diuersis. ergo in uno tantum puncto diuiditur; quod erat demonstrandum.

XLVII.

Recta duobus spatiis mediis aequalis quadrata in uno tantum puncto diuiditur.

Sit AB in Γ ita diuisa, ut $A\Gamma$, ΓB potentia incommensurabiles sint efficientes $A\Gamma^2 + \Gamma B^2$ medium et $A\Gamma \times \Gamma B$ medium et simul quadratis $A\Gamma^2 + \Gamma B^2$ incommensurabile [prop. XLI]. dico, AB in nullo alio puncto diuidi, ita ut proposita efficiat.

BV. *δὶς ἄρα* V. 11. *τά*] *τό* P. 12. *τῶν*] (alt.) corr. ex *τά* m. 2 F. 14. *σημεῖα* P, corr. m. 1. 15. *καθ'* BFb. *κατά* — 16. *δεῖξαι*] m. 2 V. 16. *ὅπερ ἔδει δεῖξαι*] comp. P, om. BF. 17. *μζ'*] e corr. F. 18. *ἡ δύο μέσα*] in ras. m. 1 F. 19. *διαιρεῖται εἰς τὰ ὀνόματα* Theon (BFVb). 20. *δύο μέσα δυναμένη*] om. P. 23. *καὶ τό — μέσον*] mg. m. 1 P. *τό*] *τὸ συγκείμενον ἐκ τῶν* V. 24. *τῷ συγκειμένῳ*] ego; *τὸ συγκείμενον* PBFVb. Post *αὐτῶν* add. *τῷ* (corr. ex *τό* m. rec. P) *συγκειμένῳ* (corr. ex *-μενον* m. rec. P) *ἐκ τῶν ὑπ'* (corr. ex *ἀπ'* m. 2 V, *ἀπ'* b) *αὐτῶν* (*τετραγώνων* add. b, F m. 2) BFVb, P mg. m. 1.

Εἰ γὰρ δυνατόν, διῃρήσθω κατὰ τὸ Δ, ὥστε πάλιν δηλονότι τὴν ΑΓ τῇ ΔΒ μὴ εἶναι τὴν αὐτήν, ἀλλὰ μείζονα καθ' ὑπόθεσιν τὴν ΑΓ, καὶ ἐκκείσθω ῥητὴ ἡ ΕΖ, καὶ παραβεβλήσθω παρὰ τὴν ΕΖ τοῖς μὲν ἀπὸ τῶν ΑΓ, ΓΒ ἴσον τὸ ΕΗ, τῷ δὲ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ ἴσον τὸ ΘΚ· ὅλον ἄρα τὸ ΕΚ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΒ τετραγώνῳ. πάλιν δὴ παραβεβλήσθω παρὰ τὴν ΕΖ τοῖς ἀπὸ τῶν ΑΔ, ΔΒ ἴσον τὸ ΕΛ· λοιπὸν ἄρα τὸ δὶς ὑπὸ τῶν ΑΔ, ΔΒ λοιπῷ τῷ ΜΚ ἴσον ἐστίν. καὶ ἐπεὶ μέσον ὑπόκειται τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ, μέσον ἄρα ἐστὶ καὶ τὸ ΕΗ. καὶ παρὰ ῥητὴν τὴν ΕΖ παράκειται· ῥητὴ ἄρα ἐστὶν ἡ ΘΕ καὶ ἀσύμμετρος τῇ ΕΖ μήκει. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΘΝ ῥητή ἐστι καὶ ἀσύμμετρος τῇ ΕΖ μήκει. καὶ ἐπεὶ ἀσύμμετρόν ἐστι τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΓ, ΓΒ τῷ δὶς ὑπὸ τῶν ΑΓ, ΓΒ, καὶ τὸ ΕΗ ἄρα τῷ ΗΝ ἀσύμμετρόν ἐστιν· ὥστε καὶ ἡ ΕΘ τῇ ΘΝ ἀσύμμετρός ἐστιν. καί εἰσι ῥηταί· αἱ ΕΘ, ΘΝ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἡ ΕΝ ἄρα ἐκ δύο ὀνομάτων ἐστὶ διῃρημένη κατὰ τὸ Θ. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ κατὰ τὸ Μ διῄρηται. καὶ οὐκ ἔστιν ἡ ΕΘ τῇ ΜΝ ἡ αὐτή· ἡ ἄρα ἐκ δύο ὀνομάτων κατ' ἄλλο καὶ ἄλλο σημεῖον διῄρηται· ὅπερ ἐστὶν ἄτοπον. οὐκ ἄρα ἡ δύο μέσα δυναμένη κατ' ἄλλο καὶ ἄλλο σημεῖον διαιρεῖται· καθ' ἓν ἄρα μόνον [σημεῖον] διαιρεῖται.

---

1. καὶ κατά V. 3. κείσθω P. 6. ΕΚ] corr. ex ΘΚ m. 2 P. 10. ἐστί BV, comp. Fb. 13. ΘΕ] ΕΘ P. 14. ἔστιν P. 15. τό — 16. τῷ] in ras. m. 1 F. 16. τῷ] τῷ συγκειμένῳ ἐκ τῶν (τοῦ F) FVb. δίς] supra scr. F. ὑπό] in ras. F. ΓΒ] ΒΓ' F. ΕΝ b. 17. ἄρα] om. V. τῷ] mut. in τῶν m. 2 V. ΗΝ] ΘΚ BFb, ΘΚ ἄρα V. 18. ἐστιν] comp. Fb, ἐστι μήκει V. εἰσιν PB. 19. εἰσιν PB.

nam, si fieri potest, in Δ ita diuidatur, ut scilicet rursus $A\Gamma$, ΔB eaedem non sint, sed supponatur maior $A\Gamma$, et ponatur rationalis EZ, et rectae EZ quadratis $A\Gamma^2 + \Gamma B^2$ aequale adplicetur EH, rectangulo autem $2\, A\Gamma \times \Gamma B$ aequale ΘK. itaque $EK = AB^2$ [II, 4]. iam rursus rectae EZ quadratis $A\Delta^2 + \Delta B^2$ aequale adplicetur $E\Lambda$. itaque quod relinquitur, $2\, A\Delta \times \Delta B = MK$. et quoniam supposuimus, $A\Gamma^2 + \Gamma B^2$ medium esse, etiam EH medium est. et rectae rationali EZ adplicatum est; itaque ΘE rationalis est et rectae EZ longitudine incommensurabilis [prop. XXII]. eadem de causa etiam ΘN rationalis est et rectae EZ longitudine incommensurabilis. et quoniam $A\Gamma^2 + \Gamma B^2$ et $2\, A\Gamma \times \Gamma B$ incommensurabilia sunt, etiam EH, HN incommensurabilia sunt. quare etiam $E\Theta$, ΘN incommensurabiles sunt [VI, 1; prop. XI]. et sunt rationales. itaque $E\Theta$, ΘN rationales sunt potentia tantum commensurabiles. ergo EN ex duobus nominibus est in Θ diuisa [prop. XXXVI]. similiter demonstrabimus, eandem in M diuisam esse. et $E\Theta$, MN eaedem non sunt. itaque recta ex duobus nominibus in punctis diuersis diuisa est; quod fieri non potest [prop. XLII]. itaque recta duobus spatiis mediis aequalis quadrata non diuiditur in punctis diuersis. ergo in uno tantum diuiditur.



---

21. διαιρεῖται V. 22. *MN* ἄρα b. ἐκ τῶν P. 23. ἄτοπόν ἐστιν V. 24. ἡ] corr. ex ἐκ V. 25. ἕνα F. σημεῖον] om. P.

Ὅροι δεύτεροι.

α΄. Ὑποκειμένης ῥητῆς καὶ τῆς ἐκ δύο ὀνομάτων διῃρημένης εἰς τὰ ὀνόματα, ἧς τὸ μεῖζον ὄνομα τοῦ ἐλάσσονος μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει, ἐὰν μὲν τὸ μεῖζον ὄνομα σύμμετρον ᾖ μήκει τῇ ἐκκειμένῃ ῥητῇ, καλείσθω [ἡ ὅλη] ἐκ δύο ὀνομάτων πρώτη.

β΄. Ἐὰν δὲ τὸ ἔλασσον ὄνομα σύμμετρον ᾖ μήκει τῇ ἐκκειμένῃ ῥητῇ, καλείσθω ἐκ δύο ὀνομάτων δευτέρα.

γ΄. Ἐὰν δὲ μηδέτερον τῶν ὀνομάτων σύμμετρον ᾖ μήκει τῇ ἐκκειμένῃ ῥητῇ, καλείσθω ἐκ δύο ὀνομάτων τρίτη.

δ΄. Πάλιν δὴ ἐὰν τὸ μεῖζον ὄνομα [τοῦ ἐλάσσονος] μεῖζον δύνηται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ μήκει, ἐὰν μὲν τὸ μεῖζον ὄνομα σύμμετρον ᾖ μήκει τῇ ἐκκειμένῃ ῥητῇ, καλείσθω ἐκ δύο ὀνομάτων τετάρτη.

ε΄. Ἐὰν δὲ τὸ ἔλασσον, πέμπτη.

ϛ΄. Ἐὰν δὲ μηδέτερον, ἕκτη.

μη΄.

Εὑρεῖν τὴν ἐκ δύο ὀνομάτων πρώτην.

Ἐκκείσθωσαν δύο ἀριθμοὶ οἱ ΑΓ, ΓΒ, ὥστε τὸν συγκείμενον ἐξ αὐτῶν τὸν ΑΒ πρὸς μὲν τὸν ΒΓ λόγον ἔχειν, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, πρὸς δὲ τὸν ΓΑ λόγον μὴ ἔχειν, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, καὶ ἐκκείσθω

---

1. ὅροι δεύτεροι] mg. B, m. 2 V, om. F, μη΄ b. numeros om. codd. 4. ἐλάττονος BFb. αὑτῇ B, corr. m. rec.; et supra scr. ω b; ἑ- e corr. V. 5. μήκει] (alt.) om. V, m. 2 F (eras.). 6. ῥητῇ μήκει FV. ἡ ὅλη] supra scr. m. 2 P, ὅλη B.

Definitiones alterae.

1. Proposita recta rationali et recta ex duobus nominibus in nomina diuisa, cuius nomen maius potentia minus excedit quadrato rectae sibi longitudine commensurabilis, si maius nomen rationali propositae longitudine commensurabile est, uocetur ex duobus nominibus prima.

2. Sin minus nomen rationali propositae longitudine commensurabile est, uocetur ex duobus nominibus secunda.

3. Sin neutrum nomen rationali propositae longitudine commensurabile est, uocetur ex duobus nominibus tertia.

4. Rursus si maius nomen potentia excedit quadrato rectae sibi longitudine incommensurabilis, si maius nomen rationali propositae longitudine commensurabile est, uocetur ex duobus nominibus quarta.

5. Sin minus commensurabile est, quinta.

6. Sin neutrum, sexta.

XLVIII.

Inuenire rectam ex duobus nominibus primam.

Exponantur duo numeri $A\Gamma$, ΓB eius modi, ut $AB : B\Gamma$ rationem habeat, quam numerus quadratus ad numerum quadratum, AB autem ad ΓA rationem non habeat, quam numerus quadratus ad numerum quadratum [prop. XXVIII lemma], et exponatur ratio-

---

8. *μήκει*] om. V. 9. *ῥητῇ μήκει* V. *ἡ ὅλη ἐκ* F. 14. *τοῦ ἐλάσσονος*] m. 2 P, *τοῦ ἐλάττονος* V. 15. *συμμέτρου* BFb, corr. m. 2. *ἑαυτῇ*] supra scr. ω b. 16. *ὄνομα*] om. V. 19. Seq. schol., u. app. 20. *μθ´* F. 23. *τόν*] (prius) corr. ex *τῶν* V. 25. ΓA] ras. V.

τις ῥητὴ ἡ Δ, καὶ τῇ Δ σύμμετρος ἔστω μήκει ἡ ΕΖ. ῥητὴ ἄρα ἐστὶ καὶ ἡ ΕΖ. καὶ γεγονέτω ὡς ὁ ΒΑ ἀριθμὸς πρὸς τὸν ΑΓ, οὕτως τὸ ἀπὸ τῆς ΕΖ πρὸς τὸ ἀπὸ τῆς ΖΗ. ὁ δὲ ΑΒ πρὸς τὸν ΑΓ λόγον ἔχει, ὃν ἀριθμὸς πρὸς ἀριθμόν· καὶ τὸ ἀπὸ τῆς ΕΖ ἄρα πρὸς τὸ ἀπὸ τῆς ΖΗ λόγον ἔχει, ὃν ἀριθμὸς πρὸς ἀριθμόν· ὥςτε σύμμετρόν ἐστι τὸ ἀπὸ τῆς ΕΖ τῷ ἀπὸ τῆς ΖΗ. καί ἐστι ῥητὴ ἡ ΕΖ· ῥητὴ ἄρα καὶ ἡ ΖΗ. καὶ ἐπεὶ ὁ ΒΑ πρὸς τὸν ΑΓ λόγον οὐκ ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, οὐδὲ τὸ ἀπὸ τῆς ΕΖ ἄρα πρὸς τὸ ἀπὸ τῆς ΖΗ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΕΖ τῇ ΖΗ μήκει. αἱ ΕΖ, ΖΗ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἐκ δύο ἄρα ὀνομάτων ἐστὶν ἡ ΕΗ.

Λέγω, ὅτι καὶ πρώτη.

Ἐπεὶ γάρ ἐστιν ὡς ὁ ΒΑ ἀριθμὸς πρὸς τὸν ΑΓ, οὕτως τὸ ἀπὸ τῆς ΕΖ πρὸς τὸ ἀπὸ τῆς ΖΗ, μείζων δὲ ὁ ΒΑ τοῦ ΑΓ, μεῖζον ἄρα καὶ τὸ ἀπὸ τῆς ΕΖ τοῦ ἀπὸ τῆς ΖΗ. ἔστω οὖν τῷ ἀπὸ τῆς ΕΖ ἴσα τὰ ἀπὸ τῶν ΖΗ, Θ. καὶ ἐπεί ἐστιν ὡς ὁ ΒΑ πρὸς τὸν ΑΓ, οὕτως τὸ ἀπὸ τῆς ΕΖ πρὸς τὸ ἀπὸ τῆς ΖΗ, ἀναστρέψαντι ἄρα ἐστὶν ὡς ὁ ΑΒ πρὸς τὸν ΒΓ, οὕτως τὸ ἀπὸ τῆς ΕΖ πρὸς τὸ ἀπὸ τῆς Θ. ὁ δὲ ΑΒ πρὸς τὸν ΒΓ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· καὶ τὸ ἀπὸ τῆς ΕΖ ἄρα πρὸς τὸ ἀπὸ τῆς Θ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν. σύμμετρος ἄρα ἐστὶν ἡ ΕΖ τῇ

---

1. τις] supra scr. m. 1 V. 2. ἐστὶ καί] ἐστίν B. 3. ΑΓ] ΓΑ FVb. Dein add. ἀριθμόν V. 4. ΖΗ] Η eras. F. ὁ δέ — 5. ἀριθμόν] mg. m. 2 B. 5. ὃν ὁ F. 8. ἔστιν B.

nalis aliqua Δ, et rectae Δ longitudine commensurabilis sit EZ; itaque EZ rationalis est [def. 3]. et fiat $BA:A\Gamma = EZ^2:ZH^2$ [prop. VI coroll.]. uerum $AB:A\Gamma$ rationem habet, quam numerus ad numerum. itaque etiam $EZ^2:ZH^2$ rationem habet, quam numerus ad numerum. quare EZ^2, ZH^2 commensurabilia sunt [prop. VI]. et EZ rationalis est. itaque etiam ZH rationalis est. et quoniam $BA:A\Gamma$ rationem non habet, quam numerus quadratus ad numerum quadratum, ne EZ^2 quidem ad ZH^2 rationem habet, quam numerus quadratus ad numerum quadratum. itaque EZ, ZH longitudine incommensurabiles sunt [prop. IX]. quare EZ, ZH rationales sunt potentia tantum commensurabiles. ergo EH ex duobus nominibus est [prop. XXXVI]. dico, eandem primam esse.



nam quoniam est $BA:A\Gamma = EZ^2:ZH^2$, et $BA > A\Gamma$, erit etiam $EZ^2 > ZH^2$ [V, 14]. sit igitur $ZH^2 + \Theta^2 = EZ^2$. et quoniam est $BA:A\Gamma = EZ^2:ZH^2$, conuertendo [V, 19 coroll.] est $AB:B\Gamma = EZ^2:\Theta^2$. uerum $AB:B\Gamma$ rationem habet, quam numerus quadratus ad numerum quadratum. itaque etiam $EZ^2:\Theta^2$ rationem habet, quam numerus quadratus ad numerum quadratum. quare EZ, Θ longitudine commensurabiles sunt [prop.

---

9. BA] mut. in AB V. οὐκ] postea ins. F. 14. ZH — δυνάμει] m. 2 B. εἰσιν P. 15. ἄρα] m. rec. b. 17. ὁ] in ras. m. 1 P. AB F. 18. τό] (prius) supra scr. m. 1 P. μεῖζον F. 20. τῷ] corr. ex τό V. 21. AB P. 25. τόν] om. BFb. $B\Gamma$] Γ supra scr. V. 26. EZ] ZE corr. ex ZB F. 27. Θ] seq. ras. 1 litt. F.

Θ μήκει· ἡ ΕΖ ἄρα τῆς ΖΗ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. καί εἰσι ῥηταὶ αἱ ΕΖ, ΖΗ, καὶ σύμμετρος ἡ ΕΖ τῇ Δ μήκει.

Ἡ ΕΗ ἄρα ἐκ δύο ὀνομάτων ἐστὶ πρώτη· ὅπερ ἔδει δεῖξαι.

μθʹ.

Εὑρεῖν τὴν ἐκ δύο ὀνομάτων δευτέραν.

Ἐκκείσθωσαν δύο ἀριθμοὶ οἱ ΑΓ, ΓΒ, ὥστε τὸν συγκείμενον ἐξ αὐτῶν τὸν ΑΒ πρὸς μὲν τὸν ΒΓ λόγον ἔχειν, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, πρὸς δὲ τὸν ΑΓ λόγον μὴ ἔχειν, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, καὶ ἐκκείσθω ῥητὴ ἡ Δ, καὶ τῇ Δ σύμμετρος ἔστω ἡ ΕΖ μήκει· ῥητὴ ἄρα ἐστὶν ἡ ΕΖ. γεγονέτω δὴ καὶ ὡς ὁ ΓΑ ἀριθμὸς πρὸς τὸν ΑΒ, οὕτως τὸ ἀπὸ τῆς ΕΖ πρὸς τὸ ἀπο τῆς ΖΗ· σύμμετρον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΕΖ τῷ ἀπὸ τῆς ΖΗ. ῥητὴ ἄρα ἐστὶ καὶ ἡ ΖΗ. καὶ ἐπεὶ ὁ ΓΑ ἀριθμὸς πρὸς τὸν ΑΒ λόγον οὐκ ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, οὐδὲ τὸ ἀπὸ τῆς ΕΖ πρὸς τὸ ἀπὸ τῆς ΖΗ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν. ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΕΖ τῇ ΖΗ μήκει· αἱ ΕΖ, ΖΗ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἐκ δύο ἄρα ὀνομάτων ἐστὶν ἡ ΕΗ.

Δεικτέον δή, ὅτι καὶ δευτέρα.

---

2. εἰσιν PB. 3. ἀσύμμετρος F, ἀ- eras.; deinde add. μήκει, del. m. 1. Post μήκει del. ἀσύμμετροι m. 1 F. 4. ὅπερ ἔδει δεῖξαι] comp. P, om. BFVb. 6. νʹ F, et sic deinceps. 8. τόν] corr. ex τό m. 2 V. 11. ΓΑ BVb. 12. τετράγωνος F. 18. ΕΖ] ΖΗ BVb, in ras. F, m. rec. P. 14. ῥητή — ΕΖ] καὶ ἡ ΖΗ ἄρα ῥητή ἐστιν F. ΕΖ] ΖΗ BVb, m. rec. P. γεγονέτω δή καί] καὶ ἔστω V. δέ F, supra scr. δή. 15. ΕΖ] ΗΖ F, et corr. ex ΖΗ V, ΖΗ Bb, P m.

IX]. itaque EZ^2 excedit ZH^2 quadrato rectae sibi commensurabilis. et EZ, ZH rationales sunt, et EZ, Δ longitudine commensurabiles.

Ergo EH ex duobus nominibus est prima [def. alt. 1]; quod erat demonstrandum.

XLIX.

Inuenire rectam ex duobus nominibus secundam.

Exponantur duo numeri $A\Gamma$, ΓB eius modi, ut AB ad $B\Gamma$ rationem habeat, quam numerus quadratus ad numerum quadratum, ad $A\Gamma$ autem rationem non habeat, quam numerus quadratus ad numerum quadratum [prop. XXVIII lemma]. et ponatur rationalis Δ, et rectae Δ longitudine commensurabilis sit EZ; itaque EZ rationalis est. iam fiat etiam $\Gamma A : AB = EZ^2 : ZH^2$ [prop. VI coroll.]. itaque EZ^2, ZH^2 commensurabilia sunt [prop. VI]. quare etiam ZH rationalis est. et quoniam $\Gamma A : AB$ rationem non habet, quam numerus quadratus ad numerum quadratum, ne EZ^2 quidem ad ZH^2 rationem habet, quam numerus quadratus ad numerum quadratum. itaque EZ, ZH longitudine incommensurabiles sunt [prop. IX]. quare EZ, ZH rationales sunt potentia tantum commensurabiles. ergo EH ex duobus nominibus est [prop. XXXVI]. iam demonstrandum, eandem secundam esse.



---

rec. 16. ZH] ZE BFVb, m. rec. P; item lin. 17 bis, 20, 22. 16. EZ] HZ Bb, et corr. ex ZH V, ZH F, P m. rec. 17. ἐστίν B. 18. ΓA] in ras. V. 19. οὐδ' ἄρα Theon (BFVb). 20. EZ] HZ BFV, et e corr. m. 1 b. 22. EZ] HZ Bb, P m. rec.; ZH V, ZH' F. τῆς b. 23. εἰσιν B. 25. δέ P.

Ἐπεὶ γὰρ ἀνάπαλίν ἐστιν ὡς ὁ ΒΑ ἀριθμὸς πρὸς τὸν ΑΓ, οὕτως τὸ ἀπὸ τῆς ΗΖ πρὸς τὸ ἀπὸ τῆς ΖΕ, μείζων δὲ ὁ ΒΑ τοῦ ΑΓ, μεῖζον ἄρα [καὶ] τὸ ἀπὸ τῆς ΗΖ τοῦ ἀπὸ τῆς ΖΕ. ἔστω τῷ ἀπὸ τῆς ΗΖ ἴσα τὰ ἀπὸ τῶν ΕΖ, Θ· ἀναστρέψαντι ἄρα ἐστὶν ὡς ὁ ΑΒ πρὸς τὸν ΒΓ, οὕτως τὸ ἀπὸ τῆς ΖΗ πρὸς τὸ ἀπὸ τῆς Θ. ἀλλ' ὁ ΑΒ πρὸς τὸν ΒΓ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· καὶ τὸ ἀπὸ τῆς ΖΗ ἄρα πρὸς τὸ ἀπὸ τῆς Θ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν. σύμμετρος ἄρα ἐστὶν ἡ ΖΗ τῇ Θ μήκει· ὥστε ἡ ΖΗ τῆς ΖΕ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. καί εἰσι ῥηταὶ αἱ ΖΗ, ΖΕ δυνάμει μόνον σύμμετροι, καὶ τὸ ΕΖ ἔλασσον ὄνομα τῇ ἐκκειμένῃ ῥητῇ σύμμετρόν ἐστι τῇ Δ μήκει.

Ἡ ΕΗ ἄρα ἐκ δύο ὀνομάτων ἐστὶ δευτέρα· ὅπερ ἔδει δεῖξαι.

ν'.

Εὑρεῖν τὴν ἐκ δύο ὀνομάτων τρίτην.

Ἐκκείσθωσαν δύο ἀριθμοὶ οἱ ΑΓ, ΓΒ, ὥστε τὸν συγκείμενον ἐξ αὐτῶν τὸν ΑΒ πρὸς μὲν τὸν ΒΓ λόγον ἔχειν, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, πρὸς δὲ τὸν ΑΓ λόγον μὴ ἔχειν, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν. ἐκκείσθω δέ τις καὶ ἄλλος μὴ τετράγωνος ἀριθμὸς ὁ Δ, καὶ πρὸς ἑκάτερον τῶν ΒΑ, ΑΓ λόγον μὴ ἐχέτω, ὃν τε-

---

1. ΑΒ P. ἀριθμός] om. b. 2. ΗΖ] ΕΖ BFVb, m. rec. P, item lin. 4 bis. ΖΕ] ΖΗ BFVb, m. rec. P, item lin. 4, 11. 3. μείζων — ΑΓ] mg. m. 1 P (μεῖζον, sed corr. m. 1). ΒΑ] Α e corr. V. καί] om. P. 5. ΕΖ] ΗΖ BFVb, m. rec. P. ὁ] ἡ b φ (non F). 6. ΖΗ] ΕΖ BFVb, m. rec. P, item lin. 9, 11 bis. 8. καί — 10. ἀριθμόν] mg. m.

nam quoniam e contrario est [V, 7 coroll.] $BA : A\Gamma = HZ^2 : ZE^2$, et $BA > A\Gamma$, erit $HZ^2 > ZE^2$ [V, 14]. sit $HZ^2 = EZ^2 + \Theta^2$. conuertendo [V, 19 coroll.] igitur est $AB : B\Gamma = ZH^2 : \Theta^2$. uerum $AB : B\Gamma$ rationem habet, quam numerus quadratus ad numerum quadratum. itaque etiam $ZH^2 : \Theta^2$ rationem habet, quam numerus quadratus ad numerum quadratum. itaque ZH, Θ longitudine commensurabiles sunt [prop. IX]. quare ZH^2 excedit ZE^2 quadrato rectae sibi commensurabilis. et rationales sunt ZH, ZE potentia tantum commensurabiles, et minus nomen EZ rationali propositae Δ commensurabilis est longitudine.

Ergo EH ex duobus nominibus secunda est [def. alt. 2]; quod erat demonstrandum.

L.

Inuenire rectam ex duobus nominibus tertiam.

Exponantur duo numeri $A\Gamma$, ΓB eius modi, ut AB ad $B\Gamma$ rationem habeat, quam numerus quadratus ad numerum quadratum, ad $A\Gamma$ autem rationem non habeat, quam numerus quadratus ad numerum quadratum. exponatur autem etiam alius aliquis numerus non quadratus Δ, et ad utrumque BA, $A\Gamma$ rationem ne habeat,



---

1 F. 12. *εἰσιν* B. 13. EZ, ZH BFVb, m. rec. P. 14. EZ] ZH BFVb, m. rec. P. *ἔλαττον* BVb, comp. F. *σύμμετρόν ἐστι τῇ* Theon (BFVb). *σύμμετρόν ἐστι*] om. Theon (BFVb). 16. *ὅπερ ἔδει δεῖξαι*] comp. P, om. BFVb. 20. *κείσθωσαν*, supra scr. *ἐκ*, V. *δύο*] corr. ex *οἱ* m. rec. P. 25. *ἀριθμός*] om. V.

τράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· καὶ ἐκκείσθω τις ῥητὴ εὐθεῖα ἡ Ε, καὶ γεγονέτω ὡς ὁ Δ πρὸς τὸν ΑΒ, οὕτως τὸ ἀπὸ τῆς Ε πρὸς τὸ ἀπὸ τῆς ΖΗ· σύμμετρον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς Ε τῷ ἀπὸ τῆς ΖΗ. καί ἐστι ῥητὴ ἡ Ε· ῥητὴ ἄρα ἐστὶ καὶ ἡ ΖΗ. καὶ ἐπεὶ ὁ Δ πρὸς τὸν ΑΒ λόγον οὐκ ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, οὐδὲ τὸ ἀπὸ τῆς Ε πρὸς τὸ ἀπὸ τῆς ΖΗ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ἀσύμμετρος ἄρα ἐστὶν ἡ Ε τῇ ΖΗ μήκει. γεγονέτω δὴ πάλιν ὡς ἡ ΒΑ ἀριθμὸς πρὸς τὸν ΑΓ, οὕτως τὸ ἀπὸ τῆς ΖΗ πρὸς τὸ ἀπὸ τῆς ΗΘ· σύμμετρον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΖΗ τῷ ἀπὸ τῆς ΗΘ. ῥητὴ δὲ ἡ ΖΗ· ῥητὴ ἄρα καὶ ἡ ΗΘ. καὶ ἐπεὶ ὁ ΒΑ πρὸς τὸν ΑΓ λόγον οὐκ ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, οὐδὲ τὸ ἀπὸ τῆς ΖΗ πρὸς τὸ ἀπὸ τῆς ΘΗ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΖΗ τῇ ΗΘ μήκει. αἱ ΖΗ, ΗΘ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἡ ΖΘ ἄρα ἐκ δύο ὀνομάτων ἐστίν.

Λέγω δή, ὅτι καὶ τρίτη.

Ἐπεὶ γάρ ἐστιν ὡς ὁ Δ πρὸς τὸν ΑΒ, οὕτως τὸ ἀπὸ τῆς Ε πρὸς τὸ ἀπὸ τῆς ΖΗ, ὡς δὲ ὁ ΒΑ πρὸς τὸν ΑΓ, οὕτως τὸ ἀπὸ τῆς ΖΗ πρὸς τὸ ἀπὸ τῆς ΗΘ, δι' ἴσου ἄρα ἐστὶν ὡς ὁ Δ πρὸς τὸν ΑΓ, οὕτως τὸ ἀπὸ τῆς Ε πρὸς τὸ ἀπὸ τῆς ΗΘ. ὁ δὲ Δ πρὸς τὸν ΑΓ λόγον οὐκ ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· οὐδὲ τὸ ἀπὸ τῆς Ε ἄρα πρὸς τὸ ἀπὸ τῆς ΗΘ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς

---

2. *ῥητή*] m. 2 F. 3. *τῇ ΖΗ* b. 4. *τό* — 5. *ΖΗ*] (prius) m. 2 B. 5. *καί ἐστι ῥητή*] *ῥητὴ δέ* B. *ἐστίν* B. 10. *δέ* V.

quam numerus quadratus ad numerum quadratum; et ponatur aliqua recta rationalis E, et fiat $\Delta : AB = E^2 : ZH^2$ [prop. VI coroll.]. itaque E^2, ZH^2 commensurabilia sunt [prop. VI]. et E rationalis est; quare etiam ZH rationalis est. et quoniam $\Delta : AB$ rationem non habet, quam numerus quadratus ad numerum quadratum, ne E^2 quidem ad ZH^2 rationem habet, quam numerus quadratus ad numerum quadratum. itaque E, ZH longitudine incommensurabiles sunt [prop. IX]. iam rursus fiat $BA : A\Gamma = ZH^2 : H\Theta^2$ [prop. VI coroll.]. itaque ZH^2, $H\Theta^2$ commensurabilia sunt [prop. VI]. uerum ZH rationalis est; itaque etiam $H\Theta$ rationalis est. et quoniam $BA : A\Gamma$ rationem non habet, quam numerus quadratus ad numerum quadratum, ne ZH^2 quidem ad $H\Theta^2$ rationem habet, quam numerus quadratus ad numerum quadratum. itaque ZH, $H\Theta$ longitudine incommensurabiles sunt [prop. IX]. quare ZH, $H\Theta$ rationales sunt potentia tantum commensurabiles. ergo $Z\Theta$ ex duobus nominibus est [prop. XXXVI]. iam dico, eandem tertiam esse. nam quoniam est $\Delta : AB = E^2 : ZH^2$ et $BA : A\Gamma = ZH^2 : H\Theta^2$, ex aequo [V, 22] erit $\Delta : A\Gamma = E^2 : H\Theta^2$. uerum $\Delta : A\Gamma$ rationem non habet, quam numerus quadratus ad

---

11. BA] AB' F. τόν] om. B. 14. ΓA F. 16. ΘH] in ras. V, $H\Theta$ F. 18. ἐστίν] ἐστὶ καί F. ZH] e corr. m. 2 (ex HZ?) V. τῇ] m. rec. P. ΘH F. 19. $H\Theta$] in ras. V. εἰσιν B. 20. ἐστί BV, comp. Fb. 22. ὡς] supra scr. m. 1 F. 23. ZH] HZ F. BA] AB P, AB' F. 24. τόν] om. P. $A\Gamma$] corr. ex AB m. 1 F. 25. $H\Theta$] $Z\Theta$ P, corr. m. rec. (euan.). 28. τετράγωνος F, corr. m. 1.

πρὸς τετράγωνον ἀριθμόν· ἀσύμμετρος ἄρα ἐστὶν ἡ Ε τῇ ΗΘ μήκει. καὶ ἐπεί ἐστιν ὡς ὁ ΒΑ πρὸς τὸν ΑΓ, οὕτως τὸ ἀπὸ τῆς ΖΗ πρὸς τὸ ἀπὸ τῆς ΗΘ, μεῖζον ἄρα τὸ ἀπὸ τῆς ΖΗ τοῦ ἀπὸ τῆς ΗΘ. ἔστω οὖν τῷ ἀπὸ τῆς ΖΗ ἴσα τὰ ἀπὸ τῶν ΗΘ, Κ· ἀναστρέψαντι ἄρα [ἐστὶν] ὡς ὁ ΑΒ πρὸς τὸν ΒΓ, οὕτως τὸ ἀπὸ τῆς ΖΗ πρὸς τὸ ἀπὸ τῆς Κ. ὁ δὲ ΑΒ πρὸς τὸν ΒΓ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· καὶ τὸ ἀπὸ τῆς ΖΗ ἄρα πρὸς τὸ ἀπὸ τῆς Κ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· σύμμετρος ἄρα [ἐστὶν] ἡ ΖΗ τῇ Κ μήκει. ἡ ΖΗ ἄρα τῆς ΗΘ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. καί εἰσιν αἱ ΖΗ, ΗΘ ῥηταὶ δυνάμει μόνον σύμμετροι, καὶ οὐδετέρα αὐτῶν σύμμετρός ἐστι τῇ Ε μήκει.

Ἡ ΖΘ ἄρα ἐκ δύο ὀνομάτων ἐστὶ τρίτη· ὅπερ ἔδει δεῖξαι.

να΄.

Εὑρεῖν τὴν ἐκ δύο ὀνομάτων τετάρτην.

Ἐκκείσθωσαν δύο ἀριθμοὶ οἱ ΑΓ, ΓΒ, ὥστε τὸν ΑΒ πρὸς τὸν ΒΓ λόγον μὴ ἔχειν μήτε μὴν πρὸς τὸν ΑΓ, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν. καὶ ἐκκείσθω ῥητὴ ἡ Δ, καὶ τῇ Δ σύμμετρος ἔστω μήκει ἡ ΕΖ· ῥητὴ ἄρα ἐστὶ καὶ ἡ ΕΖ. καὶ γεγονέτω ὡς ὁ ΒΑ ἀριθμὸς πρὸς τὸν ΑΓ, οὕτως το ἀπὸ τῆς ΕΖ πρὸς τὸ ἀπὸ τῆς ΖΗ· σύμμετρον ἄρα

---

1. ἐστίν] m. 2 F, om. B. 3. τό] (alt.) om. b. 4. τῆς] (alt.) om. b. 6. ἐστίν] om. P. τόν] om. Fb. 11. ἐστίν] om. BFVb. 12. ἄρα] m. 2 V. δύναται] -να- in ras. P. 13. ἀσυμμέτρου F, corr. m. rec.; ἀ- supra scr. F m. 2. ΗΘ ἄρα V. 15. ἐστιν B. τῇ Ε ἐστιν F. 16. τρίτη] corr. ex ῥ,τή m. rec. b; ῥητή F, mg. γρ. τρίτη m. rec. ὅπερ ἔδει

numerum quadratum. itaque ne E^2 quidem ad $H\Theta^2$ rationem habet, quam numerus quadratus ad numerum quadratum. quare E, $H\Theta$ longitudine incommensurabiles sunt [prop. IX]. et quoniam est $BA : A\Gamma = ZH^2 : H\Theta^2$, erit $ZH^2 > H\Theta^2$ [V, 14]. sit igitur $ZH^2 = H\Theta^2 + K^2$. itaque conuertendo [V, 19 coroll.] $AB : B\Gamma = ZH^2 : K^2$. uerum $AB : B\Gamma$ rationem habet, quam numerus quadratus ad numerum quadratum. quare etiam $ZH^2 : K^2$ rationem habet, quam numerus quadratus ad numerum quadratum. itaque ZH, K longitudine commensurabiles sunt. itaque ZH^2 excedit $H\Theta^2$ quadrato rectae sibi commensurabilis. et ZH, $H\Theta$ rationales sunt potentia tantum commensurabiles, et neutra rectae E longitudine commensurabilis est.

Ergo $Z\Theta$ ex duobus nominibus tertia est [def. alt. 3]; quod erat demonstrandum.

LI.

Inuenire rectam ex duobus nominibus quartam.



Exponantur duo numeri $A\Gamma$, ΓB eius modi, ut AB neque ad $B\Gamma$ neque ad $A\Gamma$ rationem habeat, quam numerus quadratus ad numerum quadratum [prop. XXVIII lemma]. et ponatur rationalis Δ, et rectae Δ longitudine commensurabilis sit EZ. itaque EZ rationalis est. et fiat $BA : A\Gamma = EZ^2 : ZH^2$ [prop. VI coroll.]. itaque EZ^2, ZH^2 commensurabilia sunt [prop. VI]. itaque etiam ZH ra-

---

δεῖξαι] comp. P, om. BFVb. 21. *τὸν* $B\Gamma$] *ἑκάτερον αὐτῶν* Theon (BFVb). $B\Gamma$] corr. ex $A\Gamma$ m. 1 P. *μήτε* — 22. $A\Gamma$] om. Theon (BFVb). 24. *ἐστίν* B. 25. BA] $A''B'$ F. *ἀριθμός*] om. V. ΓA F. 26. *σύμμετρος* P, corr. m. 1.

ἐστὶ τὸ ἀπὸ τῆς ΕΖ τῷ ἀπὸ τῆς ΖΗ· ῥητὴ ἄρα ἐστὶ καὶ ἡ ΖΗ. καὶ ἐπεὶ ὁ ΒΑ πρὸς τὸν ΑΓ λόγον οὐκ ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, οὐδὲ τὸ ἀπὸ τῆς ΕΖ πρὸς τὸ ἀπὸ τῆς ΖΗ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΕΖ τῇ ΖΗ μήκει. αἱ ΕΖ, ΖΗ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ὥστε ἡ ΕΗ ἐκ δύο ὀνομάτων ἐστίν.

Λέγω δή, ὅτι καὶ τετάρτη.

Ἐπεὶ γάρ ἐστιν ὡς ὁ ΒΑ πρὸς τὸν ΑΓ, οὕτως τὸ ἀπὸ τῆς ΕΖ πρὸς τὸ ἀπὸ τῆς ΖΗ [μείζων δὲ ὁ ΒΑ τοῦ ΑΓ], μεῖζον ἄρα τὸ ἀπὸ τῆς ΕΖ τοῦ ἀπὸ τῆς ΖΗ. ἔστω οὖν τῷ ἀπὸ τῆς ΕΖ ἴσα τὰ ἀπὸ τῶν ΖΗ, Θ· ἀναστρέψαντι ἄρα ὡς ὁ ΑΒ ἀριθμὸς πρὸς τὸν ΒΓ, οὕτως τὸ ἀπὸ τῆς ΕΖ πρὸς τὸ ἀπὸ τῆς Θ. ὁ δὲ ΑΒ πρὸς τὸν ΒΓ λόγον οὐκ ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· οὐδ᾽ ἄρα τὸ ἀπὸ τῆς ΕΖ πρὸς τὸ ἀπὸ τῆς Θ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν. ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΕΖ τῇ Θ μήκει· ἡ ΕΖ ἄρα τῆς ΗΖ μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ. καί εἰσιν αἱ ΕΖ, ΖΗ ῥηταὶ δυνάμει μόνον σύμμετροι, καὶ ἡ ΕΖ τῇ Δ σύμμετρός ἐστι μήκει.

Ἡ ΕΗ ἄρα ἐκ δύο ὀνομάτων ἐστὶ τετάρτη· ὅπερ ἔδει δεῖξαι.

---

1. Post ΖΗ add. *ῥητὴ δὲ* (seq. ras. 1 litt. F) *ἡ* ΕΖ b, m. 2 F. *ῥητὴ ἄρα*] *ἡ* ΕΖ *ῥητὴ ἄρα* V m. 2, *ῥητή ἐστιν ἄρα* b. *ἐστί*] om. b, *ἐστίν* PB. 2. *καί*] (prius) om. BFb. ΒΑ] ΑΒ P. *οὐκ*] postea add. m. 1 F. 6. *τῇ*] *τῆς* b. 7. *εἰσιν* B. 8. *ἐστί* BV, comp. Fb. 9. *δή*] supra scr. m. 1 P. *καί*] m. 2 F. 10. ΒΑ] corr. ex ΑΒ V. *τόν*] om. Bb, corr. ex *τό* m. rec. P. 11. *μείζων* — 12. ΑΓ] mg. m. 1 in ras. P.

tionalis est. et quoniam $B\Delta : \Delta\Gamma$ rationem non habet, quam numerus quadratus ad numerum quadratum, ne EZ^2 quidem ad ZH^2 rationem habet, quam numerus quadratus ad numerum quadratum. itaque EZ, ZH longitudine incommensurabiles sunt [prop. IX]. itaque EZ, ZH rationales sunt potentia tantum commensurabiles. quare EH ex duobus nominibus est [prop. XXXVI].

Iam dico, eandem quartam esse. nam quoniam est $B\Delta : \Delta\Gamma = EZ^2 : ZH^2$, erit $EZ^2 > ZH^2$ [V, 14]. sit igitur $EZ^2 = ZH^2 + \Theta^2$. itaque conuertendo [V, 19 coroll.] $\Delta B : B\Gamma = EZ^2 : \Theta^2$. uerum $\Delta B : B\Gamma$ rationem non habet, quam numerus quadratus ad numerum quadratum. itaque ne EZ^2 quidem ad Θ^2 rationem habet, quam numerus quadratus ad numerum quadratum. quare EZ, Θ longitudine incommensurabiles sunt [prop. IX]. EZ^2 igitur excedit ZH^2 quadrato rectae sibi incommensurabilis. et EZ, ZH rationales sunt potentia tantum commensurabiles, et EZ, Δ longitudine commensurabiles sunt.

Ergo EH ex duobus nominibus est quarta [def. alt. 4]; quod erat demonstrandum.

---

11. $B\Delta$] Δ e corr. V. 12. τῆς] (prius) om. P. 13. τῷ] τό F. 16. τόν] om. BFb. 18. Θ] $\Theta\Delta$ b. 20. ἐστίν] om. Fb. ἄρα] om. F. τῆς] corr. ex τῇ V. HZ] corr. ex ZH V, EH F. 21. συμμέτρου b, corr. m. rec., et F, corr. m. 2. ἑαυτῇ μήκει F. 24. ὅπερ ἔδει δεῖξαι] comp. P, om. BFVb.

νβʹ.

Εὑρεῖν τὴν ἐκ δύο ὀνομάτων πέμπτην.

Ἐκκείσθωσαν δύο ἀριθμοὶ οἱ ΑΓ, ΓΒ, ὥστε τὸν ΑΒ πρὸς ἑκάτερον αὐτῶν λόγον μὴ ἔχειν, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, καὶ ἐκκείσθω ῥητή τις εὐθεῖα η Δ, καὶ τῇ Δ σύμμετρος ἔστω [μήκει] ἡ ΕΖ· ῥητὴ ἄρα ἡ ΕΖ. καὶ γεγονέτω ὡς ὁ ΓΑ πρὸς τὸν ΑΒ, οὕτως τὸ ἀπὸ τῆς ΕΖ πρὸς τὸ ἀπὸ τῆς ΖΗ. ὁ δὲ ΓΑ πρὸς τὸν ΑΒ λόγον οὐκ ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· οὐδὲ τὸ ἀπὸ τῆς ΕΖ ἄρα πρὸς τὸ ἀπὸ τῆς ΖΗ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν. αἱ ΕΖ, ΖΗ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἐκ δύο ἄρα ὀνομάτων ἐστὶν ἡ ΕΗ.

Λέγω δή, ὅτι καὶ πέμπτη.

Ἐπεὶ γάρ ἐστιν ὡς ὁ ΓΑ προς τὸν ΑΒ, οὕτως το ἀπὸ τῆς ΕΖ πρὸς τὸ ἀπὸ τῆς ΖΗ, ἀνάπαλιν ὡς ὁ ΒΑ πρὸς τὸν ΑΓ, οὕτως τὸ ἀπὸ τῆς ΖΗ πρὸς τὸ ἀπὸ τῆς ΖΕ· μεῖζον ἄρα τὸ ἀπὸ τῆς ΗΖ τοῦ ἀπὸ τῆς ΖΕ. ἔστω οὖν τῷ ἀπὸ τῆς ΗΖ ἴσα τὰ ἀπὸ τῶν ΕΖ, Θ· ἀναστρέψαντι ἄρα ἐστὶν ὡς ὁ ΑΒ ἀριθμὸς πρὸς τὸν ΒΓ, οὕτως τὸ ἀπὸ τῆς ΗΖ πρὸς τὸ ἀπὸ τῆς Θ. ὁ δὲ ΑΒ πρὸς τὸν ΒΓ λόγον οὐκ ἔχει, ὃν

---

3. τόν] corr. ex τό V. 7. μήκει] om. P. ΕΖ] ΖΗ Theon (BFVb), ΗΖ m. rec. P. ῥητὴ ἄρα ἡ ΕΖ] ῥητὴ ἄρα ἡ ΖΗ V, mg. ῥητὴ τῇ ἄρα ΗΖ m. 2. ΕΖ] ΖΗ Theon (BFb), ΗΖ P m. rec. 8. ΕΖ] Ζ post ras. 1 litt. V, ΖΗ F, ΗΖ Bb, P m. rec. 9. ΖΗ] ΖΕ Theon (BFVb), m. rec. P. Deinde add. σύμμετρον ἄρα ἐστὶ τὸ ἀπὸ τῆς ΗΖ τῷ ἀπὸ τῆς ΖΕ· ῥητὴ ἄρα ἐστὶ καὶ ἡ ΖΕ. καὶ ἐπεί Theon (BFVb), P m. rec. (ΖΗ pro ΗΖ). δέ] om. Theon (BFVb). τόν] om. BFb. 11. τῆς] (prius) m. 2 B. ΕΖ] ΗΖ FVb, m. 2 B, m. rec. P. ἄρα] om. B. πρὸς τὸ ἀπό] m. 2 B. ΖΗ] P, ΖΕ BFVb,

LII.

Inuenire rectam ex duobus nominibus quintam.

Exponantur duo numeri $A\Gamma$, ΓB eius modi, ut AB ad neutrum rationem habeat, quam numerus quadratus ad numerum quadratum [prop. XXVIII lemma], et ponatur recta aliqua rationalis Δ, et rectae Δ commensurabilis sit EZ. itaque EZ rationalis est. et fiat



$$\Gamma A : AB = EZ^2 : ZH^2$$

[prop. VI coroll.]. ΓA autem ad AB rationem non habet, quam numerus quadratus ad numerum quadratum. itaque ne EZ^2 quidem ad ZH^2 rationem habet, quam numerus quadratus ad numerum quadratum. quare EZ, ZH rationales sunt potentia tantum commensurabiles [prop. IX]. ergo EH ex duobus nominibus est [prop. XXXVI].

iam dico, eandem quintam esse. nam quoniam est $\Gamma A : AB = EZ^2 : ZH^2$, e contrario [V, 7 coroll.] est $BA : A\Gamma = ZH^2 : ZE^2$. itaque $HZ^2 > ZE^2$ [V, 14]. sit igitur $HZ^2 = EZ^2 + \Theta^2$. itaque conuertendo [V,

---

m. rec. P. 12. τετράγωνος F, corr. m. 1. ἀριθμόν] m. 2 V. Deinde add. ἀσύμμετρος ἄρα ἐστὶν ἡ HZ τῇ ZE (τῇ ZE om. V) μήκει b, mg. m. 1 F, m. 2 V. 13. εἰσιν PB. 14. ἄρα] om. P. EH] H e corr. m. 1 b. 15. καί] m. 2 F. 17. EZ] P; HZ BVb, P m. rec.; ZH F. ZH] P, ZE BFVb, P m. rec. Ante ὡς add. ἄρα m. rec. P. 18. οὕτως] om. BVb. ZH] P, EZ BFVb, P m. rec. 19. ZE] P, ZH BFVb, P m. rec. Dein add. ὁ δὲ BA τοῦ AΓ μείζων (corr. ex μεῖζον) ἐστί V; μεῖζον (μείζων m. rec. b) δὲ τὸ (ὁ m. rec. b) BA τοῦ AΓ b, in ras. F. μεῖζον ἄρα] sustulit rep. in F. ἄρα ἐστί V. τό] m. 2 F. HZ] P, EZ BFVb, P m. rec.; item lin. 20, 22. 20. τῆς] om. P. ZE] P, ZH BFVb, P m. rec. τῷ] supra scr. m. 1 b, postea add. m. 1 V, corr. ex τό F m. 1. 21. EZ] P, HZ BFb, m. rec. P, in ras. V.

τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· οὐδ' ἄρα τὸ ἀπὸ τῆς *ΖΗ* πρὸς τὸ ἀπὸ τῆς *Θ* λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν. ἀσύμμετρος ἄρα ἐστὶν ἡ *ΖΗ* τῇ *Θ* μήκει· ὥστε ἡ *ΖΗ* τῆς *ΖΕ* μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ. καί εἰσιν αἱ *ΗΖ*, *ΖΕ* ῥηταὶ δυνάμει μόνον σύμμετροι, καὶ τὸ *ΕΖ* ἔλαττον ὄνομα σύμμετρόν ἐστι τῇ ἐκκειμένῃ ῥητῇ τῇ *Δ* μήκει.

Ἡ *ΕΗ* ἄρα ἐκ δύο ὀνομάτων ἐστὶ πέμπτη· ὅπερ ἔδει δεῖξαι.

νγ´.

Εὑρεῖν τὴν ἐκ δύο ὀνομάτων ἕκτην.

Ἐκκείσθωσαν δύο ἀριθμοὶ οἱ *ΑΓ*, *ΓΒ*, ὥστε τὸν *ΑΒ* πρὸς ἑκάτερον αὐτῶν λόγον μὴ ἔχειν, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ἔστω δὲ καὶ ἕτερος ἀριθμὸς ὁ *Δ* μὴ τετράγωνος ὢν μηδὲ πρὸς ἑκάτερον τῶν *ΒΑ*, *ΑΓ* λόγον ἔχων, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· καὶ ἐκκείσθω τις ῥητὴ εὐθεῖα ἡ *Ε*, καὶ γεγονέτω ὡς ὁ *Δ* πρὸς τὸν *ΑΒ*, οὕτως το ἀπὸ τῆς *Ε* πρὸς τὸ ἀπὸ τῆς *ΖΗ*· σύμμετρον ἄρα τὸ ἀπὸ τῆς *Ε* τῷ ἀπὸ τῆς *ΖΗ*. καί ἐστι ῥητὴ ἡ *Ε*· ῥητὴ ἄρα καὶ ἡ *ΖΗ*. καὶ ἐπεὶ οὐκ ἔχει

---

1. *τετράγωνον*] corr. ex *τετράγωνος* m. 1 b. 2. *ΖΗ*] P, *ΕΖ* BFVb, P m. rec.; item lin. 4, 5. *Θ*] ras. 1 litt. V. 4. *ἐστίν*] om. BVb. 5. *τῆς*] corr. ex *τῇ* Vb. *ΖΕ*] P, *ΖΗ* BFVb, P m. rec. *συμμέτρου* F, corr. m. 2. 6. *εἰσι* V, comp. Fb. *αἱ*] m. rec. P. *αἱ ΗΖ, ΖΕ*] om. FVb; *αἱ ΕΖ, ΖΗ* supra scr. m. 2 B. 7. *ΕΖ*] P, *ΖΗ* BFVb, *ΗΖ* m. rec. P. 9. *ὅπερ ἔδει δεῖξαι*] comp. P, om. BFVb. 13. *ΑΓ*] *Α*, seq. ras. 1 litt., F. *τόν*] corr. ex *τό* m. 2 B. 16. *μήτε* P. 17. *ΒΑ*] supra scr. *Γ* m. 1 b, *ΑΒ* F et V, sed corr. *ἔχειν* V, sed corr. 18. *καί*] m. 2 F. 20. *οὕτως καί* V. *σύμμετρος* Theon (BFVb), P m. rec. 21. *ἄρα ἐστίν* FV. *τό* —

19 coroll.] $AB : B\Gamma = HZ^2 : \Theta^2$. uerum $AB : B\Gamma$ rationem non habet, quam numerus quadratus ad numerum quadratum. itaque ne ZH^2 quidem ad Θ^2 rationem habet, quam numerus quadratus ad numerum quadratum. itaque ZH, Θ longitudine incommensurabiles sunt [prop. IX]. quare ZH^2 excedit ZE^2 quadrato rectae sibi incommensurabilis. et HZ, ZE rationales sunt potentia tantum commensurabiles, et minus nomen EZ rectae rationali propositae Δ longitudine commensurabilis est.

Ergo EH ex duobus nominibus est quinta [def. alt. 5]; quod erat demonstrandum.

LIII.

Inuenire rectam ex duobus nominibus sextam.

Exponantur duo numeri $A\Gamma$, ΓB eius modi, ut AB ad neutrum rationem habeat, quam numerus quadratus ad numerum quadratum, sit autem etiam alius numerus Δ non quadratus neque ad alterutrum BA, $A\Gamma$ rationem habens, quam numerus quadratus ad numerum quadratum [prop. XXVIII lemma]; et ponatur recta rationalis E, et fiat

$$\Delta : AB = E^2 : ZH^2$$

[prop. VI coroll.]. itaque E^2, ZH^2 commensurabilia sunt [prop. VI]. et E rationalis est; itaque etiam ZH rationalis est. et quoniam $\Delta : AB$ rationem non habet, quam numerus quadratus ad numerum quadratum, ne E^2 quidem ad ZH^2 rationem habet, quam nu-



ZH] ἡ Ε τῇ (τῷ ἀπὸ τῆς P) ZH δυνάμει Theon (BFVb), P m. rec. ἔστιν B. 22. ἐπεί] m. 2 B, om. F.

ὁ Δ πρὸς τὸν ΑΒ λόγον, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, οὐδὲ τὸ ἀπὸ τῆς Ε ἄρα πρὸς τὸ ἀπὸ τῆς ΖΗ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ἀσύμμετρος ἄρα ἡ Ε τῇ ΖΗ μήκει. γεγονέτω δὴ πάλιν ὡς ὁ ΒΑ πρὸς τὸν ΑΓ, οὕτως τὸ ἀπὸ τῆς ΖΗ πρὸς τὸ ἀπὸ τῆς ΗΘ. σύμμετρον ἄρα τὸ ἀπὸ τῆς ΖΗ τῷ ἀπὸ τῆς ΘΗ. ῥητὸν ἄρα τὸ ἀπὸ τῆς ΘΗ· ῥητὴ ἄρα ἡ ΘΗ. καὶ ἐπεὶ ὁ ΒΑ πρὸς τὸν ΑΓ λόγον οὐκ ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν, οὐδὲ τὸ ἀπὸ τῆς ΖΗ πρὸς τὸ ἀπὸ τῆς ΗΘ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΖΗ τῇ ΗΘ μήκει. αἱ ΖΗ, ΗΘ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἐκ δύο ἄρα ὀνομάτων ἐστὶν ἡ ΖΘ.

Δεικτέον δή, ὅτι καὶ ἕκτη.

Ἐπεὶ γάρ ἐστιν ὡς ὁ Δ πρὸς τὸν ΑΒ, οὕτως τὸ ἀπὸ τῆς Ε πρὸς τὸ ἀπὸ τῆς ΖΗ, ἔστι δὲ καὶ ὡς ὁ ΒΑ πρὸς τὸν ΑΓ, οὕτως τὸ ἀπὸ τῆς ΖΗ πρὸς τὸ ἀπὸ τῆς ΗΘ, δι᾽ ἴσου ἄρα ἐστὶν ὡς ὁ Δ πρὸς τὸν ΑΓ, οὕτως τὸ ἀπὸ τῆς Ε πρὸς τὸ ἀπὸ τῆς ΗΘ. ὁ δὲ Δ πρὸς τὸν ΑΓ λόγον οὐκ ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· οὐδὲ τὸ ἀπὸ τῆς Ε ἄρα προς τὸ ἀπὸ τῆς ΗΘ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ἀσύμμετρος ἄρα ἐστὶν ἡ Ε τῇ ΗΘ μήκει. ἐδείχθη δὲ καὶ τῇ ΖΗ ἀσύμμετρος· ἑκατέρα ἄρα τῶν ΖΗ, ΗΘ ἀσύμμετρός ἐστι τῇ Ε μήκει. καὶ ἐπεί ἐστιν ὡς ὁ ΒΑ πρὸς τὸν ΑΓ, οὕτως τὸ ἀπὸ τῆς ΖΗ πρὸς τὸ ἀπὸ τῆς ΗΘ, μεῖζον ἄρα τὸ ἀπὸ τῆς

---

7. ἀσύμμετρον F, sed corr. ΘΗ] in ras. V, ΗΘ Fb. Deinde add. ῥητὸν δὲ τὸ ἀπὸ τῆς ΖΗ Theon (BFVb). 8. ἄρα

merus quadratus ad numerum quadratum. itaque E, ZH longitudine incommensurabiles sunt [prop. IX]. iam rursus fiat $BA : A\Gamma = ZH^2 : H\Theta^2$ [prop. VI coroll.]. itaque ZH^2, ΘH^2 commensurabilia sunt [prop. VI]. itaque ΘH^2 rationale est; quare ΘH est rationalis. et quoniam $BA : A\Gamma$ rationem non habet, quam numerus quadratus ad numerum quadratum, ne ZH^2 quidem ad $H\Theta^2$ rationem habet, quam numerus quadratus ad numerum quadratum. itaque ZH, $H\Theta$ longitudine incommensurabiles sunt [prop. IX]. quare ZH, $H\Theta$ rationales sunt potentia tantum commensurabiles. itaque $Z\Theta$ ex duobus nominibus est.

iam demonstrandum, eandem sextam esse. nam quoniam est $\Delta : AB = E^2 : ZH^2$, et $BA : A\Gamma = ZH^2 : H\Theta^2$, ex aequo erit [V, 22] $\Delta : A\Gamma = E^2 : H\Theta^2$. uerum $\Delta : A\Gamma$ rationem non habet, quam numerus quadratus ad numerum quadratum. itaque ne E^2 quidem ad $H\Theta^2$ rationem habet, quam numerus quadratus ad numerum quadratum. itaque E, $H\Theta$ longitudine incommensurabiles sunt [prop. IX]. demonstrauimus autem, etiam E, ZH incommensurabiles esse. itaque utraque ZH, $H\Theta$ rectae E longitudine incommensurabilis est. et quoniam est $BA : A\Gamma = ZH^2 : H\Theta^2$, erit $ZH^2 > H\Theta^2$ [V, 14]. iam sit $ZH^2 = H\Theta^2 + K^2$. quare conuertendo [V, 19 coroll.] erit $AB : B\Gamma = ZH^2 : K^2$. uerum $AB : B\Gamma$

καί Theon (BFVb). ῥητή — ΘH] mg. V. $H\Theta$ P. 9. BA] AB' F. 10. οὐδέ] οὐδ' ἄρα FVb, οὐκ ἄρα B. τό] τά F. 14. εἰσιν B. 18. ἔστιν B. 19. BA] AB P. 21. δέ] m. 2 F. 23. οὐδέ] οὐδ' ἄρα Theon (BFVb). ἄρα] om. Theon (BFVb). 26. HZ F. 27. ἑκατέρα — E] ἡ E ἄρα ἑκατέρᾳ τῶν ZH, $H\Theta$ ἐστιν ἀσύμμετρος V. ἄρα] supra scr. F. 28. οὕτως] om. b, m. 2 B. 29. Post $H\Theta$ add. μείζων δὲ ὁ AB τοῦ $A\Gamma$ V. μεῖζον] bis F.

ΖΗ τοῦ ἀπὸ τῆς ΗΘ. ἔστω οὖν τῷ ἀπὸ [τῆς] ΖΗ ἴσα τὰ ἀπὸ τῶν ΗΘ, Κ· ἀναστρέψαντι ἄρα ὡς ὁ ΑΒ πρὸς ΒΓ, οὕτως τὸ ἀπὸ ΖΗ πρὸς τὸ ἀπὸ τῆς Κ. ὁ δὲ ΑΒ πρὸς τὸν ΒΓ λόγον οὐκ ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· ὥστε οὐδὲ τὸ ἀπὸ ΖΗ πρὸς τὸ ἀπὸ τῆς Κ λόγον ἔχει, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν. ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΖΗ τῇ Κ μήκει· ἡ ΖΗ ἄρα τῆς ΗΘ μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ. καί εἰσιν αἱ ΖΗ, ΗΘ ῥηταὶ δυνάμει μόνον σύμμετροι, καὶ οὐδετέρα αὐτῶν σύμμετρός ἐστι μήκει τῇ ἐκκειμένῃ ῥητῇ τῇ Ε.

Ἡ ΖΘ ἄρα ἐκ δύο ὀνομάτων ἐστὶν ἕκτη· ὅπερ ἔδει δεῖξαι.

Λῆμμα.

Ἔστω δύο τετράγωνα τὰ ΑΒ, ΒΓ καὶ κείσθωσαν ὥστε ἐπ' εὐθείας εἶναι τὴν ΔΒ τῇ ΒΕ· ἐπ' εὐθείας ἄρα ἐστὶ καὶ ἡ ΖΒ τῇ ΒΗ. καὶ συμπεπληρώσθω τὸ ΑΓ παραλληλόγραμμον· λέγω, ὅτι τετράγωνόν ἐστι τὸ ΑΓ, καὶ ὅτι τῶν ΑΒ, ΒΓ μέσον ἀνάλογόν ἐστι τὸ ΔΗ, καὶ ἔτι τῶν ΑΓ, ΓΒ μέσον ἀνάλογόν ἐστι τὸ ΔΓ

Ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ μὲν ΔΒ τῇ ΒΖ, ἡ δὲ ΒΕ τῇ ΒΗ, ὅλη ἄρα ἡ ΔΕ ὅλῃ τῇ ΖΗ ἐστιν ἴση. ἀλλ' ἡ μὲν ΔΕ ἑκατέρᾳ τῶν ΑΘ, ΚΓ ἐστιν ἴση, ἡ δὲ ΖΗ ἑκατέρᾳ τῶν ΑΚ, ΘΓ ἐστιν ἴση· καὶ ἑκατέρα ἄρα τῶν ΑΘ, ΚΓ ἑκατέρᾳ τῶν ΑΚ, ΘΓ ἐστιν ἴση. ἰσόπλευρον ἄρα ἐστὶ τὸ ΑΓ παραλληλόγραμμον· ἔστι δὲ καὶ ὀρθογώνιον· τετράγωνον ἄρα ἐστὶ τὸ ΑΓ.

---

1. ΖΗ] ΖΘ b. τῆς] om. P. τῆς] om. Pb. 3. τόν ΒΓ V. τῆς ΖΗ FV. 4. πρὸς τὸν ΒΓ] mg. m. 1 P. 6. τῆς ΖΗ FV. 7. ἀσύμμετρα P, corr. m. 1. 9. συμ-

rationem non habet, quam numerus quadratus ad numerum quadratum. quare ne ZH^2 quidem ad K^2 rationem habet, quam numerus quadratus ad numerum quadratum. itaque ZH, K longitudine incommensurabiles sunt [prop. IX]. itaque ZH^2 excedit $H\Theta^2$ quadrato rectae sibi incommensurabilis. et ZH, $H\Theta$ rationales sunt potentia tantum commensurabiles, et neutra earum rationali propositae E longitudine commensurabilis est.

Ergo $Z\Theta$ recta ex duobus nominibus est sexta [def. alt. 6]; quod erat demonstrandum.

Lemma.

Sint duo quadrata AB, $B\Gamma$ et ita ponantur, ut ΔB, BE in eadem recta sint. itaque etiam ZB, BH in eadem sunt recta. et expleatur parallelogrammum $\Delta\Gamma$. dico, $A\Gamma$ quadratum esse, et ΔH medium esse proportionale inter AB, $B\Gamma$, et praeterea $\Delta\Gamma$ medium esse proportionale inter $A\Gamma$, ΓB.



nam quoniam $\Delta B = BZ$, $BE = BH$, erit $\Delta E = HZ$. uerum $\Delta E = A\Theta = K\Gamma$, $ZH = AK = \Theta\Gamma$ [I, 34]. quare etiam

$$A\Theta = K\Gamma = AK = \Theta\Gamma.$$

μέτρου F, corr. m. 2. ἑαυτῇ μήκει F. 11. αὐτῶν] τῶν ZH, $H\Theta$ Theon (BFVb). ἐστιν P. ἐγκειμένη F. 12. E] EH b, H add. m. 2 F. 13. ἡ] om. b. ὅπερ ἔδει δεῖξαι] comp. P, om. BFVb. 18. ἐστίν B. 19. ὅτι τὸ $A\Gamma$ V. ἐστιν P. 20. τὸ $A\Gamma$] om. V. ὅτι] ἔτι BF, supra scr. ὅτι m. 2. 21. ἐστιν P. 22. ZB B. 24. Post ἴση del. ἀλλ' ἡ μὲν ΔE ἑκατέρα m. 1 P. HZ BFV. 25. $\Gamma\Theta$ V. ἄρα] om. b. 26. $A\Theta$] A postea add. V. 27. ἐστίν P. ἔστιν PB. 28. ἐστίν P.

Καὶ ἐπεί ἐστιν ὡς ἡ ΖΒ πρὸς τὴν ΒΗ, οὕτως ἡ ΔΒ πρὸς τὴν ΒΕ, ἀλλ' ὡς μὲν ἡ ΖΒ πρὸς τὴν ΒΗ, οὕτως τὸ ΑΒ πρὸς τὸ ΔΗ, ὡς δὲ ἡ ΔΒ πρὸς τὴν ΒΕ, οὕτως τὸ ΔΗ πρὸς τὸ ΒΓ, καὶ ὡς ἄρα τὸ ΑΒ πρὸς τὸ ΔΗ, οὕτως τὸ ΔΗ πρὸς τὸ ΒΓ. τῶν ΑΒ, ΒΓ ἄρα μέσον ἀνάλογόν ἐστι τὸ ΔΗ.

Λέγω δή, ὅτι καὶ τῶν ΑΓ, ΓΒ μέσον ἀνάλογόν [ἐστι] τὸ ΔΓ.

Ἐπεὶ γάρ ἐστιν ὡς ἡ ΑΔ πρὸς τὴν ΔΚ, οὕτως ἡ ΚΗ πρὸς τὴν ΗΓ· ἴση γάρ [ἐστιν] ἑκατέρα ἑκατέρᾳ· καὶ συνθέντι ὡς ἡ ΑΚ πρὸς ΚΔ, οὕτως ἡ ΚΓ πρὸς ΓΗ, ἀλλ' ὡς μὲν ἡ ΑΚ πρὸς ΚΔ, οὕτως τὸ ΑΓ πρὸς τὸ ΓΔ, ὡς δὲ ἡ ΚΓ πρὸς ΓΗ, οὕτως τὸ ΔΓ πρὸς ΓΒ, καὶ ὡς ἄρα τὸ ΑΓ πρὸς ΔΓ, οὕτως τὸ ΔΓ προς τὸ ΒΓ. τῶν ΑΓ, ΓΒ ἄρα μέσον ἀνάλογόν ἐστι τὸ ΔΓ· ἃ προέκειτο δεῖξαι.

νδ'.

Ἐὰν χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ τῆς ἐκ δύο ὀνομάτων πρώτης, ἡ τὸ χωρίον δυναμένη ἄλογός ἐστιν ἡ καλουμένη ἐκ δύο ὀνομάτων.

Χωρίον γὰρ τὸ ΑΓ περιεχέσθω ὑπὸ ῥητῆς τῆς ΑΒ καὶ τῆς ἐκ δύο ὀνομάτων πρώτης τῆς ΑΔ· λέγω, ὅτι ἡ τὸ ΑΓ χωρίον δυναμένη ἄλογός ἐστιν ἡ καλουμένη ἐκ δύο ὀνομάτων.

---

3. τὴν ΒΕ — 5. ΒΓ] postea ins. m. 1 F. 4. οὕτω B. τ'] m. 2 F. τὸ ΒΓ] corr. ex τὴν ΒΓ m. 2 B. 5. οὕτω B. 6. ἄρα] om. b. 8. ἐστι] om. P. 10. τήν] om. BFb. ἐστιν] om. P. ἑκατέρᾳ] om. P. 11. τὴν ΚΔ V. 12. τὴν ΓΗ V. τὴν ΚΔ V. 13. τὴν ΓΗ V. 14. τὸ ΓΒ V, seq. ras. 1 litt. ΔΓ] τὸ ΓΔ V. 15. ΔΓ] ΓΔ V. τὸ ΒΓ] ΒΓ

itaque parallelogrammum $A\Gamma$ aequilaterum est; est autem idem rectangulum. ergo $A\Gamma$ quadratum est.

et quoniam est $ZB : BH = \Delta B : BE$, et $ZB : BH = AB : \Delta H$, $\Delta B : BE = \Delta H : B\Gamma$ [VI, 1], erit etiam $AB : \Delta H = \Delta H : B\Gamma$. ergo ΔH medium est proportionale inter AB, $B\Gamma$.

Iam dico, $\Delta\Gamma$ etiam medium proportionale esse inter $A\Gamma$, ΓB.

nam quoniam est $A\Delta : \Delta K = KH : H\Gamma$ (nam utraque utrique aequalis est), et componendo [V, 18] $AK : K\Delta = K\Gamma : \Gamma H$, est autem $AK : K\Delta = A\Gamma : \Gamma\Delta$, $K\Gamma : \Gamma H = \Delta\Gamma : \Gamma B$, erit etiam $A\Gamma : \Delta\Gamma = \Delta\Gamma : B\Gamma$. ergo $\Delta\Gamma$ medium est proportionale inter $A\Gamma$, ΓB; quae propositum erat demonstrare.

LIV.

Si spatium recta rationali et recta ex duobus nominibus prima comprehenditur, recta spatio aequalis quadrata irrationalis est ex duobus nominibus, quae uocatur.



Spatium enim $A\Gamma$ recta rationali AB et recta ex duobus nominibus prima $A\Delta$ comprehendatur. dico, rectam spatio $A\Gamma$ aequalem quadratam irrationalem esse ex duobus nominibus, quae uocatur.

B, ΓB Fb. 16. ᾶ] ὅπερ Theon (BFVb). Post δεῖξαι add. o > : ≻— P. 18. τῆς] m. 2 B. 22. χωρίον — 25. ὀνομάτων] mg. m. 1 F. 22. $A\Gamma$] $AB\Gamma\Delta$ Theon (BFVb). 23. AB] $A\Delta$ F.

Ἐπεὶ γὰρ ἐκ δύο ὀνομάτων ἐστὶ πρώτη ἡ ΑΔ, διῃρήσθω εἰς τὰ ὀνόματα κατὰ τὸ Ε, καὶ ἔστω τὸ μεῖζον ὄνομα τὸ ΑΕ. φανερὸν δή, ὅτι αἱ ΑΕ, ΕΔ ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι, καὶ ἡ ΑΕ τῆς ΕΔ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, καὶ ἡ ΑΕ σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ τῇ ΑΒ μήκει. τετμήσθω δὴ ἡ ΕΔ δίχα κατὰ τὸ Ζ σημεῖον. καὶ ἐπεὶ ἡ ΑΕ τῆς ΕΔ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ, ἐὰν ἄρα τῷ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ἐλάσσονος, τουτέστι τῷ ἀπὸ τῆς ΕΖ, ἴσον παρὰ τὴν μείζονα τὴν ΑΕ παραβληθῇ ἐλλεῖπον εἴδει τετραγώνῳ, εἰς σύμμετρα αὐτὴν διαιρεῖ. παραβεβλήσθω οὖν παρὰ τὴν ΑΕ τῷ ἀπὸ τῆς ΕΖ ἴσον τὸ ὑπὸ ΑΗ, ΗΕ· σύμμετρος ἄρα ἐστὶν ἡ ΑΗ τῇ ΕΗ μήκει. καὶ ἤχθωσαν ἀπὸ τῶν Η, Ε, Ζ ὁποτέρᾳ τῶν ΑΒ, ΓΔ παράλληλοι αἱ ΗΘ, ΕΚ, ΖΛ· καὶ τῷ μὲν ΑΘ παραλληλογράμμῳ ἴσον τετράγωνον συνεστάτω τὸ ΣΝ, τῷ δὲ ΗΚ ἴσον τὸ ΝΠ, καὶ κείσθω ὥστε ἐπ' εὐθείας εἶναι τὴν ΜΝ τῇ ΝΞ· ἐπ' εὐθείας ἄρα ἐστὶ καὶ ἡ ΡΝ τῇ ΝΟ. καὶ συμπεπληρώσθω τὸ ΣΠ παραλληλόγραμμον· τετράγωνον ἄρα ἐστὶ τὸ ΣΠ. καὶ ἐπεὶ τὸ ὑπὸ τῶν ΑΗ, ΗΕ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΕΖ, ἔστιν ἄρα ὡς ἡ ΑΗ πρὸς ΕΖ, οὕτως ἡ ΖΕ πρὸς ΕΗ· καὶ ὡς ἄρα τὸ ΑΘ πρὸς ΕΛ, τὸ ΕΛ πρὸς ΚΗ· τῶν ΑΘ, ΗΚ ἄρα μέσον ἀνάλογόν ἐστι τὸ ΕΛ. ἀλλὰ τὸ μὲν ΑΘ ἴσον ἐστὶ

---

2. Ε] e corr. m. rec. P. 3. δή] corr. ex δέ B. 4. εἴσιν P. ἀσύμμετροι F, sed corr. 5. ἀσυμμέτρου b, sed corr.; in F supra add. ἀ- m. 2. καί] om. F. ΕΑ F. 7. δή] δέ V. 8. ἀσυμμέτρου b, sed corr. 9. τετάρτῳ] Δ˜ b. τοῦ] τῶι B. τῆς] e corr. V. 12. σύμμετρον P. διέλῃ Vb, διέλῃι corr. in διελεῖ F, διελεῖ B. Dein add. μήκει V. 13. ὑπὸ τῶν FV. ΗΕ] ΗΘ P. 14. ΑΗ] Η e corr. m. 1 V.

nam quoniam $A\Delta$ ex duobus nominibus prima est, in E in nomina diuidatur, et maius nomen sit AE. manifestum igitur, AE, $E\Delta$ rationales esse potentia tantum commensurabiles, et AE^2 excedere $E\Delta^2$ quadrato rectae sibi commensurabilis, et AE rationali propositae AB longitudine commensurabilem esse [def. alt. 1]. iam $E\Delta$ in Z puncto in duas partes aequales secetur. et quoniam AE^2 excedit $E\Delta^2$ quadrato rectae sibi commensurabilis, si quartae parti quadrati minoris, hoc est quadrato EZ^2, aequale maiori AE adplicatur parallelogrammum figura quadrata deficiens, eam in partes commensurabiles diuidit [prop. XVII]. adplicetur igitur rectae AE quadrato EZ^2 aequale $AH \times HE$. itaque AH, EH longitudine commensurabiles sunt. et ab H, E, Z alterutri AB, $\Gamma\Delta$ parallelae ducantur $H\Theta$, EK, $Z\Lambda$. et parallelogrammo $A\Theta$ aequale quadratum ΣN construatur, et $N\Pi = HK$ [II, 14], et ita ponantur, ut MN, $N\Xi$ in eadem recta sint; quare etiam PN, NO in eadem sunt recta. et parallelogrammum $\Sigma\Pi$ expleatur; itaque $\Sigma\Pi$ quadratum est [u. lemma]. et quoniam est $AH \times HE = EZ^2$, erit $AH : EZ = ZE : EH$ [VI, 17]. quare etiam

$$A\Theta : E\Lambda = E\Lambda : KH \text{ [VI, 1].}$$

EH] HE in ras. V. 15. H] m. 2 F. AB] A eras. F. $\Gamma\Delta$] in ras. V, $B\Delta$ F, $\Delta\Gamma$ B. 16. EK] E postea ins. m. 1 F. $Z\Lambda$] mut. in ΛZ V, ΛZ BFb. *παραλληλόγραμμον* P, corr. m. 1. 17. ΣN] Σ corr. ex E BFb. 18. *κείσθωσαν* V. MN] corr. ex N m. 1 F. 19. *ἐστίν* B. NP P. 20. $\Sigma\Pi$] corr. ex $E\Pi$ B, item lin. 21. 21. *τό*] *τῷ* V. AHE b, et corr. in AH, EH m. 2 V, AH F, et B, corr. m. 2. 22. *τῷ*] *τό* V. 23. *πρὸς τήν* V. ZE] EZ P. EH] *τὴν* H, ante H ras. 1 litt. V. 24. *πρὸς τό*, seq. ras. 1 litt., V. $E\Lambda$] E eras. V. *τὸ* KH V. *ἄρα*] postea add. m. 1 P.

τῷ ΣΝ, τὸ δὲ ΗΚ ἴσον τῷ ΝΠ· τῶν ΣΝ, ΝΠ ἄρα μέσον ἀνάλογόν ἐστι τὸ ΕΛ. ἔστι δὲ τῶν αὐτῶν τῶν ΣΝ, ΝΠ μέσον ἀνάλογον καὶ τὸ ΜΡ· ἴσον ἄρα ἐστὶ τὸ ΕΛ τῷ ΜΡ· ὥστε καὶ τῷ ΟΞ ἴσον ἐστίν. ἔστι δὲ καὶ τὰ ΑΘ, ΗΚ τοῖς ΣΝ, ΝΠ ἴσα· ὅλον ἄρα τὸ ΑΓ ἴσον ἐστὶν ὅλῳ τῷ ΣΠ, τουτέστι τῷ ἀπὸ τῆς ΜΞ τετραγώνῳ· τὸ ΑΓ ἄρα δύναται ἡ ΜΞ.

Λέγω, ὅτι ἡ ΜΞ ἐκ δύο ὀνομάτων ἐστίν.

Ἐπεὶ γὰρ σύμμετρός ἐστιν ἡ ΑΗ τῇ ΗΕ, σύμμετρός ἐστι καὶ ἡ ΑΕ ἑκατέρᾳ τῶν ΑΗ, ΗΕ. ὑπόκειται δὲ καὶ ἡ ΑΕ τῇ ΑΒ σύμμετρος· καὶ αἱ ΑΗ, ΗΕ ἄρα τῇ ΑΒ σύμμετροί εἰσιν. καί ἐστι ῥητὴ ἡ ΑΒ· ῥητὴ ἄρα ἐστὶ καὶ ἑκατέρα τῶν ΑΗ, ΗΕ· ῥητὸν ἄρα ἐστὶν ἑκάτερον τῶν ΑΘ, ΗΚ, καί ἐστι σύμμετρον τὸ ΑΘ τῷ ΗΚ. ἀλλὰ τὸ μὲν ΑΘ τῷ ΣΝ ἴσον ἐστίν, τὸ δὲ ΗΚ τῷ ΝΠ· καὶ τὰ ΣΝ, ΝΠ ἄρα, τουτέστι τὰ ἀπὸ τῶν ΜΝ, ΝΞ, ῥητά ἐστι καὶ σύμμετρα. καὶ ἐπεὶ ἀσύμμετρός ἐστιν ἡ ΑΕ τῇ ΕΔ μήκει, ἀλλ' ἡ μὲν ΑΕ τῇ ΑΗ ἐστι σύμμετρος, ἡ δὲ ΔΕ τῇ ΕΖ σύμμετρος, ἀσύμμετρος ἄρα καὶ ἡ ΑΗ τῇ ΕΖ· ὥστε καὶ τὸ ΑΘ τῷ ΕΛ ἀσύμμετρόν ἐστιν. ἀλλὰ τὸ μὲν ΑΘ τῷ ΣΝ ἐστιν ἴσον, τὸ δὲ ΕΛ τῷ ΜΡ· καὶ τὸ ΣΝ ἄρα τῷ ΜΡ ἀσύμμετρόν ἐστιν. ἀλλ' ὡς τὸ ΣΝ

---

1. ΣΝ] (bis) corr. ex ΕΝ B, item lin. 3, 5. 2. ΕΛ] corr. ex Λ m. 1 F. ἔστιν PB. 3. ἐστίν P. 4. τό] corr. ex τῷ m. 1 P. ΜΡ τῷ ΕΛ Theon (BFVb). ὥστε καὶ τῷ] ἀλλὰ τὸ μὲν ΜΡ τῷ ΟΞ (corr. ex ΞΟ V) ἴσον ἐστὶ (ἐστίν B) τὸ δὲ ΕΛ (ΕΔ F) τῷ ΖΓ, ὅλον ἄρα τὸ ΕΓ τοῖς ΜΡ Theon (BFVb). τῷ] corr. ex τό m. 1 P. ἐστίν] postea ins. m. 1 F. 5. ΕΝ, ΠΝ F. 6. τουτέστιν P. 9. ΑΝ F, corr. m. 1. ΗΕ] corr. ex ΕΗ m. 2 V, Ε'' Η' F. 10. ΕΛ ἑκατέρων F. 11. σύμμετρος — 12. ΑΒ] (prius) mg. m. 1 F. 11. καί] μήκει· καί V, B m. 2. αἱ] ἡ Ε F, in ras. B. ΕΗ P. 12. εἴσι V, comp. Fb. ἔστιν B. 13. ἐστίν PB. 14. ἐστίν] ἐστὶ καί V.

itaque $E\Lambda$ medium est proportionale inter ΣN, $N\Pi$. uerum etiam MP inter eadem ΣN, $N\Pi$ medium est proportionale [u. lemma]. quare $E\Lambda = MP$. itaque etiam $E\Lambda = O\Xi$ [I, 43]. uerum etiam $A\Theta + HK = \Sigma N + N\Pi$. quare totum¹) $A\Gamma = \Sigma\Pi = M\Xi^2$. ergo $M\Xi$ quadrata spatio $A\Gamma$ aequalis est.

dico, $M\Xi$ ex duobus nominibus esse. nam quoniam AH rectae HE commensurabilis est, AE utrique rectae AH, HE commensurabilis est [prop. XV]. supposuimus autem, etiam AE, AB commensurabiles esse. quare etiam AH, HE rectae AB commensurabiles sunt [prop. XII]. et AB rationalis est. itaque etiam utraque AH, HE rationalis est. quare etiam $A\Theta$, HK rationalia sunt [prop. XIX], et $A\Theta$, HK commensurabilia. uerum $A\Theta = \Sigma N$, $HK = N\Pi$. itaque etiam ΣN, $N\Pi$, hoc est MN^2, $N\Xi^2$, rationalia sunt et commensurabilia. et quoniam AE, $E\Delta$ longitudine incommensurabiles sunt, et AE, AH commensurabiles, et ΔE, EZ commensurabiles, AH et EZ incommensurabiles sunt [prop. XIII]. quare etiam $A\Theta$ et $E\Lambda$ incommensurabilia sunt [VI, 1; prop. XI]. uerum $A\Theta = \Sigma N$, $E\Lambda = MP$. quare etiam ΣN, MP incommensurabilia sunt. est autem $\Sigma N : MP = ON : NP$ [VI, 1]. itaque ON, NP incommensurabiles sunt

---

1) Nam $E\Lambda = Z\Gamma$.

---

Ἐπεὶ γὰρ μέσα ἐδείχθη τὰ ΑΙ, ΖΚ καί ἐστιν ἴσα τοῖς ἀπὸ τῶν ΛΟ, ΟΝ, μέσον ἄρα καὶ ἑκάτερον τῶν ἀπὸ τῶν ΛΟ, ΟΝ· μέση ἄρα ἑκατέρα τῶν ΛΟ, ΟΝ. καὶ ἐπεὶ σύμμετρόν ἐστι τὸ ΑΙ τῷ ΖΚ, σύμμετρον ἄρα καὶ τὸ ἀπὸ τῆς ΛΟ τῷ ἀπὸ τῆς ΟΝ. πάλιν, ἐπεὶ ἀσύμμετρον ἐδείχθη τὸ ΑΙ τῷ ΕΚ, ἀσύμμετρον ἄρα ἐστὶ καὶ τὸ ΛΜ τῷ ΜΝ, τουτέστι τὸ ἀπὸ τῆς ΛΟ τῷ ὑπὸ τῶν ΛΟ, ΟΝ· ὥστε καὶ ἡ ΛΟ ἀσύμμετρός ἐστι μήκει τῇ ΟΝ· αἱ ΛΟ, ΟΝ ἄρα μέσαι εἰσὶ δυνάμει μόνον σύμμετροι.

Λέγω δή, ὅτι καὶ μέσον περιέχουσιν.

Ἐπεὶ γὰρ μέσον ἐδείχθη τὸ ΕΚ καί ἐστιν ἴσον τῷ ὑπὸ τῶν ΛΟ, ΟΝ, μέσον ἄρα ἐστὶ καὶ τὸ ὑπὸ τῶν ΛΟ, ΟΝ· ὥστε αἱ ΛΟ, ΟΝ μέσαι εἰσὶ δυνάμει μόνον σύμμετροι μέσον περιέχουσαι. ἡ ΛΝ ἄρα μέσης ἀποτομή ἐστι δευτέρα· καὶ δύναται τὸ ΑΒ χωρίον.

Ἡ ἄρα τὸ ΑΒ χωρίον δυναμένη μέσης ἀποτομή ἐστι δευτέρα· ὅπερ ἔδει δεῖξαι.

---

1. *τό*] corr. ex *τῷ* m. rec. P. *τῷ*] corr. ex *τό* m. rec. P. 2. *ΛΞ*] *ΑΞ* F. *τό*] corr. ex *τῷ* m. rec. P. *ἐστί*] P, om. BFVb. *τῷ*] corr. ex *τό* m. rec. P. Post *ΔΘ* in b adp. :∼, deinde spatium 1 lin. uacat. 3. *ΝΞ*] mut. in *ΝΖ* m. rec. B. 4. *ἴσον*] (prius) m. 2 FV. 5. *ΛΝ*] *ΛΜ* P; *ΑΝ* F, corr. m. 2. 6. *ΛΝ*] *Λ* eras. V. 7. *μέση* BFVb. *ἔστιν* P. 11. *σύμμετρον*] (prius) *σύμμετρος* F. 12. *τῆς*] corr. ex *τῶν* F. Post *ΛΟ* add. *ΟΝ* B et supra m. 1 P. *τῆς*] corr. ex

$ZK = N\Xi$. itaque etiam $EK = MN$. uerum $MN = \Delta\Xi$ [I, 43], $EK = \Delta\Theta$. quare etiam $\Delta K = \Upsilon\Phi X + N\Xi$. est autem etiam

$$\Delta K = \Delta M + N\Xi.$$

itaque reliquum $AB = \Sigma T = \Delta N^2$. ergo ΔN quadrata spatio AB aequalis est.

dico, ΔN mediae apotomen esse secundam. nam quoniam demonstrauimus, ΔI, ZK media esse, et $\Delta I = \Delta O^2$, $ZK = ON^2$, etiam utrumque ΔO^2, ON^2 medium est. quare utraque ΔO, ON media est. et quoniam $\Delta I, ZK$ commensurabilia sunt [VI, 1; prop. XI], etiam ΔO^2, ON^2 commensurabilia sunt. rursus quoniam demonstrauimus, ΔI et EK incommensurabilia esse, etiam ΔM et MN, hoc est ΔO^2 et $\Delta O \times ON$, incommensurabilia sunt. quare etiam ΔO, ON longitudine incommensurabiles sunt [VI, 1; prop. XI]. ergo ΔO, ON mediae sunt potentia tantum commensurabiles. iam dico, easdem spatium medium comprehendere. nam quoniam demonstrauimus, EK medium esse, et $EK = \Delta O \times ON$, etiam $\Delta O \times ON$ medium est. quare ΔO, ON mediae sunt potentia tantum commensurabiles medium comprehendentes. itaque ΔN mediae apotome est secunda [prop. LXXV]. et spatio AB aequalis est quadrata.

Ergo recta spatio AB aequalis quadrata mediae apotome est secunda; quod erat demonstrandum.

τῶν F. 14. *ἐστίν* P. MN] NM P. 15. *τῷ*] corr. ex *τό* m. 1 F. 16. *εἰσίν* P. 18. *περιέχουσαι* V. 19. *γάρ*] om. Fb, m. 2 B. 20. *μέσον* — 21. ON (prius)] mg. V. 22. *σύμετροι* P. ΔN b. *μέση* BFVb. 23. *ἐστιν* P. *χωρίον*] om. Theon (BFVb). 24. *μέση* BFVb. 25. *ὅπερ ἔδει δεῖξαι*] comp. P, om. BFVb.

ϟδ'.

Ἐὰν χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ ἀποτομῆς τετάρτης, ἡ τὸ χωρίον δυναμένη ἐλάσσων ἐστίν.

Χωρίον γὰρ τὸ ΑΒ περιεχέσθω ὑπὸ ῥητῆς τῆς ΑΓ καὶ ἀποτομῆς τετάρτης τῆς ΑΔ· λέγω, ὅτι ἡ τὸ ΑΒ χωρίον δυναμένη ἐλάσσων ἐστίν.

Ἔστω γὰρ τῇ ΑΔ προσαρμόζουσα ἡ ΔΗ· αἱ ἄρα ΑΗ, ΗΔ ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι, καὶ ἡ ΑΗ σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ τῇ ΑΓ μήκει, ἡ δὲ ὅλη ἡ ΑΗ τῆς προσαρμοζούσης τῆς ΔΗ μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ μήκει. ἐπεὶ οὖν ἡ ΑΗ τῆς ΗΔ μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ μήκει, ἐὰν ἄρα τῷ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ΔΗ ἴσον παρὰ τὴν ΑΗ παραβληθῇ ἐλλεῖπον εἴδει τετραγώνῳ, εἰς ἀσύμμετρα αὐτὴν διελεῖ. τετμήσθω οὖν ἡ ΔΗ δίχα κατὰ τὸ Ε, καὶ τῷ ἀπὸ τῆς ΕΗ ἴσον παρὰ τὴν ΑΗ παραβεβλήσθω ἐλλεῖπον εἴδει τετραγώνῳ, καὶ ἔστω τὸ ὑπὸ τῶν ΑΖ, ΖΗ· ἀσύμμετρος ἄρα ἐστὶ μήκει ἡ ΑΖ τῇ ΖΗ. ἤχθωσαν οὖν διὰ τῶν Ε, Ζ, Η παράλληλοι ταῖς ΑΓ, ΒΔ αἱ ΕΘ, ΖΙ, ΗΚ. ἐπεὶ οὖν ῥητή ἐστιν ἡ ΑΗ καὶ σύμμετρος τῇ ΑΓ μήκει, ῥητὸν ἄρα ἐστὶν ὅλον τὸ ΑΚ. πάλιν, ἐπεὶ ἀσύμμετρός ἐστιν ἡ ΔΗ τῇ ΑΓ μήκει, καί εἰσιν ἀμφότεραι ῥηταί, μέσον ἄρα ἐστὶ τὸ ΔΚ. πάλιν, ἐπεὶ ἀσύμμετρός ἐστιν ἡ ΑΖ τῇ ΖΗ μήκει, ἀσύμμετρον ἄρα καὶ τὸ ΑΙ τῷ ΖΚ.

---

2. τετάρτης ἀποτομῆς V. 4. ἐστί BV, comp. Fb. 5. ῥητῆς τῆς] corr. ex τῆς m. 2 F, ῥητῆς V. 6. ΑΔ] ΑΒΔ b, Δ in ras. m. 1 B. ἡ] supra scr. P. 7. ΑΒ] om. Bb, m. 2 V. 8. ΑΔ] mut. in ΑΒ m. 2 F, ΑΒ b. 11. ΔΗ] ΗΔ V. 12. δυναμένη P. συμμέτρου B, corr. m. 2. 15. ἴσον] μέσον φ. 16. ἀσύμμετρον P, σύμμετρα b. διελεῖ μήκει V.

XCIV.

Si spatium recta rationali et apotome quarta comprehenditur, recta spatio aequalis quadrata minor est.

Spatium enim AB rationali $A\Gamma$ et apotome quarta $A\Delta$ comprehendatur. dico, rectam spatio AB aequalem quadratam minorem esse.



sit enim ΔH rectae $A\Delta$ congruens. itaque AH, $H\Delta$ rationales sunt potentia tantum commensurabiles, et AH rationali propositae $A\Gamma$ longitudine commensurabilis est, tota autem AH quadrata congruentem ΔH excedit quadrato rectae sibi longitudine incommensurabilis [deff. tert. 4]. iam quoniam AH^2 excedit $H\Delta^2$ quadrato rectae sibi longitudine incommensurabilis, si $\frac{1}{4}\Delta H^2$ aequale rectae AH adplicetur spatium figura quadrata deficiens, in partes incommensurabiles eam diuidet [prop. XVIII]. ΔH igitur in E in duas partes aequales secetur, et quadrato EH^2 aequale rectae AH adplicetur spatium figura quadrata deficiens, et sit $AZ \times ZH$. itaque AZ, ZH incommensurabiles sunt. iam per E, Z, H rectis $A\Gamma$, $B\Delta$ parallelae ducantur $E\Theta$, ZI, HK. quoniam igitur AH rationalis est et rectae $A\Gamma$ longitudine commensurabilis, AK rationale est. rursus

---

17. EH] E e corr. V. 19. ἐστίν PV. 20. μήκει] om. V. ZH] HZ F. δι^α P. E, Z] Z, E PFb, in ras. m. 2 B. 21. $B\Delta$] eras. V, ΓB b. 23. ὅλον] supra scr. m. 1 b. 52. ἐστίν P. 26. ἀσύμμετρον] ἀ- del. F. ἄρα ἐστί F.

συνεστάτω οὖν τῷ μὲν ΑΙ ἴσον τετράγωνον τὸ ΛΜ, τῷ δὲ ΖΚ ἴσον ἀφῃρήσθω περὶ τὴν αὐτὴν γωνίαν τὴν ὑπὸ τῶν ΛΟΜ τὸ ΝΞ. περὶ τὴν αὐτὴν ἄρα διάμετρόν ἐστι τὰ ΛΜ, ΝΞ τετράγωνα. ἔστω αὐτῶν διάμετρος ἡ ΟΡ, καὶ καταγεγράφθω τὸ σχῆμα. ἐπεὶ οὖν τὸ ὑπὸ τῶν ΑΖ, ΖΗ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΕΗ, ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΑΖ πρὸς τὴν ΕΗ, οὕτως ἡ ΕΗ πρὸς τὴν ΖΗ. ἀλλ' ὡς μὲν ἡ ΑΖ πρὸς τὴν ΕΗ, οὕτως ἐστὶ τὸ ΑΙ πρὸς τὸ ΕΚ, ὡς δὲ ἡ ΕΗ πρὸς τὴν ΖΗ, οὕτως ἐστὶ τὸ ΕΚ πρὸς τὸ ΖΚ· τῶν ἄρα ΑΙ, ΖΚ μέσον ἀνάλογόν ἐστι τὸ ΕΚ. ἔστι δὲ καὶ τῶν ΛΜ, ΝΞ τετραγώνων μέσον ἀνάλογον τὸ ΜΝ, καί ἐστιν ἴσον τὸ μὲν ΑΙ τῷ ΛΜ, τὸ δὲ ΖΚ τῷ ΝΞ· καὶ τὸ ΕΚ ἄρα ἴσον ἐστὶ τῷ ΜΝ. ἀλλὰ τῷ μὲν ΕΚ ἴσον ἐστὶ τὸ ΔΘ, τῷ δὲ ΜΝ ἴσον ἐστὶ τὸ ΛΞ· ὅλον ἄρα τὸ ΔΚ ἴσον ἐστὶ τῷ ΥΦΧ γνώμονι καὶ τῷ ΝΞ. ἐπεὶ οὖν ὅλον τὸ ΑΚ ἴσον ἐστὶ τοῖς ΛΜ, ΝΞ τετραγώνοις, ὧν τὸ ΔΚ ἴσον ἐστὶ τῷ ΥΦΧ γνώμονι καὶ τῷ ΝΞ τετραγώνῳ, λοιπὸν ἄρα τὸ ΑΒ ἴσον ἐστὶ τῷ ΣΤ, τουτέστι τῷ ἀπὸ τῆς ΛΝ τετραγώνῳ· ἡ ΛΝ ἄρα δύναται τὸ ΑΒ χωρίον.

Λέγω, ὅτι ἡ ΛΝ ἄλογός ἐστιν ἡ καλουμένη ἐλάσσων.

Ἐπεὶ γὰρ ῥητόν ἐστι τὸ ΑΚ καί ἐστιν ἴσον τοῖς ἀπὸ τῶν ΛΟ, ΟΝ τετράγωνοις, τὸ ἄρα συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΛΟ, ΟΝ ῥητόν ἐστιν. πάλιν, ἐπεὶ τὸ ΔΚ μέσον ἐστίν, καί ἐστιν ἴσον τὸ ΔΚ τῷ δὶς ὑπὸ τῶν ΛΟ, ΟΝ, τὸ ἄρα δὶς ὑπὸ τῶν ΛΟ, ΟΝ μέσον

---

2. Post *ΖΚ* ras. 1 litt. F. 3. *τῶν*] om. BFV. *ΛΟΝ* *φ* et, supra scr. *Μ*, b. *τό*] e corr. m. rec. b. 4. *ἐστι*] *εἰσι* P. 5. *ἡ*] m. rec. P. 7. *ΑΖ*] *ΑΗ*, supra scr. Z, b. *τήν*] om. P. 8. *ΑΖ*] Z in ras. F. 9. *οὕτως*] *οὕτως ἐστὶν ἡ ΕΗ πρὸς τὴν ΖΗ· ἀλλ' ὡς μὲν ἡ ΑΖ πρὸς τὴν ΕΗ, οὕτως* b.

quoniam ΔH, $A\Gamma$ longitudine incommensurabiles sunt, et utraque rationalis est, ΔK medium est [prop. XXI]. rursus quoniam AZ, ZH longitudine incommensurabiles sunt, AI et ZK incommensurabilia sunt [VI, 1; prop. XI]. iam construatur quadratum $\Lambda M = AI$, et spatio ZK aequale auferatur $N\Xi$ in eodem angulo positum ΛOM. itaque quadrata ΛM, $N\Xi$ circum eandem diametrum posita sunt [VI, 26]. sit OP eorum diametrus, et describatur figura [cfr. uol. I p. 137 not.]. iam quoniam $AZ \times ZH = EH^2$, erit $AZ : EH = EH : ZH$ [VI, 17]. est autem $AZ : EH = AI : EK$, $EH : ZH = EK : ZK$ [VI, 1]. quare EK medium est proportionale inter AI, ZK. uerum etiam MN medium est proportionale inter quadrata ΛM, $N\Xi$ [prop. LIII lemma], et $AI = \Lambda M$, $ZK = N\Xi$. quare etiam $EK = MN$. uerum $\Delta\Theta = EK$, $\Lambda\Xi = MN$ [I, 43]. itaque $\Delta K = \Upsilon\Phi X + N\Xi$. iam quoniam est $AK = \Lambda M + N\Xi$, quorum $\Delta K = \Upsilon\Phi X + N\Xi$, erit $AB = \Sigma T = \Lambda N^2$. ergo ΛN quadrata spatio AB aequalis est.

dico, ΛN irrationalem esse minorem, quae uocatur. nam quoniam AK rationale est, et $AK = \Lambda O^2 + ON^2$, $\Lambda O^2 + ON^2$ rationale est. rursus quoniam ΔK medium est, et $\Delta K = 2\,\Lambda O \times ON$, $2\,\Lambda O \times ON$ medium est.

ἐστί] om. V. AI] supra scr. Γ b. EH] E e corr. F, ras. 2 litt. V. 10. ἐστί] om. V. 11. ἔστιν P. 12. τετραγώνων] om. V. 13. AI] $A\Gamma$ P. $N\Xi$] N in ras. V. 14. ἴσον ἐστί] ἐστιν ἴσον F, ἴσον V. τῷ] (alt.) τό corr. in τόν (?) V. 15. ἐστί] om. V. τό] τῷ V. $\Theta\Delta$ B. τῷ] corr. ex τό m. 1 V, τό P. ἐστί] om. V. τό] τῷ P. 20. τετραγώνῳ] om. V. 22. ΛH F. ἀνάλογος Fb. 24. τῶν] τοῦ P. 25. ON τετραγώνων V. ἐστι BVb, comp. F. 26. ἐστίν] comp. F, ἐστί PBVb. τὸ ΔK] om. V. τῷ] e corr. V.

ἐστίν. καὶ ἐπεὶ ἀσύμμετρον ἐδείχθη τὸ ΛΙ τῷ ΖΚ, ἀσύμμετρον ἄρα καὶ τὸ ἀπὸ τῆς ΛΟ τετράγωνον τῷ ἀπὸ τῆς ΟΝ τετραγώνῳ. αἱ ΛΟ, ΟΝ ἄρα δυνάμει εἰσὶν ἀσύμμετροι ποιοῦσαι τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων ῥητόν, τὸ δὲ δὶς ὑπ' αὐτῶν μέσον. ἡ ΛΝ ἄρα ἄλογός ἐστιν ἡ καλουμένη ἐλάσσων· καὶ δύναται τὸ ΑΒ χωρίον.

Ἡ ἄρα τὸ ΑΒ χωρίον δυναμένη ἐλάσσων ἐστίν· ὅπερ ἔδει δεῖξαι.

ϙε'.

Ἐὰν χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ ἀποτομῆς πέμπτης, ἡ τὸ χωρίον δυναμένη [ἡ] μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσά ἐστιν.

Χωρίον γὰρ τὸ ΑΒ περιεχέσθω ὑπὸ ῥητῆς τῆς ΑΓ καὶ ἀποτομῆς πέμπτης τῆς ΑΔ· λέγω, ὅτι ἡ τὸ ΑΒ χωρίον δυναμένη [ἡ] μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσά ἐστιν.

Ἔστω γὰρ τῇ ΑΔ προσαρμόζουσα ἡ ΔΗ· αἱ ἄρα ΑΗ, ΗΔ ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι, καὶ ἡ προσαρμόζουσα ἡ ΗΔ σύμμετρός ἐστι μήκει τῇ ἐκκειμένῃ ῥητῇ τῇ ΑΓ, ἡ δὲ ὅλη ἡ ΑΗ τῆς προσαρμοζούσης τῆς ΔΗ μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ. ἐὰν ἄρα τῷ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ΔΗ ἴσον παρὰ τὴν ΑΗ παραβληθῇ ἐλλεῖπον εἴδει τετρα-

---

1. ἐστί BVb, comp. F. 2. σύμμετρον B, corr. m. 2. ἄρα ἐστί V. τετράγωνον] om. V. 8. ἀσύμμετροί εἰσι δυνάμει V, deinde del. m. 2: διὰ τὸ δεύτερον θεώρημα τοῦ βιβλίου. 6. ΛΗ F. ἀνάλογος P, sed corr. 7. ΑΒ] Β corr. ex Γ m. 2 F. 8. ἐστί B. 9. ὅπερ ἔδει δεῖξαι] comp. P, om. BFVb. 12. ἡ] (alt.) om. FVb, m. 2 B. 13. ἐστι BV, comp. Fb. 16. ἡ] om. FVb, m. 2 B. 20. ΗΔ] in ras. m. 1 b, ΔΗ P. μήκει] om. V. 21. ΑΓ μήκει V. 22. συμμέτρου B, corr. m. 2.

et quoniam demonstrauimus, AI et ZK incommensurabilia esse, etiam ΛO^2, ON^2 incommensurabilia sunt. itaque ΛO, ON potentia incommensurabiles sunt efficientes summam quadratorum rationalem, duplum autem rectangulum medium. quare ΛN irrationalis est minor, quae uocatur [prop. LXXVI]. et $\Lambda N^2 = AB$.

Ergo recta spatio AB aequalis quadrata minor est; quod erat demonstrandum.

XCV.

Si spatium recta rationali et apotome quinta comprehenditur, recta spatio aequalis quadrata recta est cum rationali totum medium efficiens.

Spatium enim AB recta rationali $A\Gamma$ et apotome quinta $A\Delta$ comprehendatur. dico, rectam spatio AB aequalem quadratam rectam esse cum rationali totum medium efficientem.

nam ΔH rectae $A\Delta$ congruens sit. itaque AH, $H\Delta$ rationales sunt potentia tantum commensurabiles, et congruens $H\Delta$ rationali propositae $A\Gamma$ longitudine commensurabilis est, tota autem AH quadrata excedit congruentem ΔH quadrato rectae sibi incommensurabilis [deff. tert. 5]. itaque si $\frac{1}{4}\Delta H^2$ aequale rectae AH adplicatur spatium figura quadrata deficiens, in partes incommensurabiles eam diuidet [prop. XVIII]. ΔH igitur in puncto E in duas partes aequales





γώνῳ, εἰς ἀσύμμετρα αὐτὴν διελεῖ. τετμήσθω οὖν ἡ ΔΗ δίχα κατὰ τὸ Ε σημεῖον, καὶ τῷ ἀπὸ τῆς ΕΗ ἴσον παρὰ τὴν ΑΗ παραβεβλήσθω ἐλλεῖπον εἴδει τετραγώνῳ καὶ ἔστω τὸ ὑπὸ τῶν ΑΖ, ΖΗ· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΑΖ τῇ ΖΗ μήκει. καὶ ἐπεὶ ἀσύμμετρός ἐστιν ἡ ΑΗ τῇ ΓΑ μήκει, καί εἰσιν ἀμφότεραι ῥηταί, μέσον ἄρα ἐστὶ τὸ ΑΚ. πάλιν, ἐπεὶ ῥητή ἐστιν ἡ ΔΗ καὶ σύμμετρος τῇ ΑΓ μήκει, ῥητόν ἐστι τὸ ΔΚ. συνεστάτω οὖν τῷ μὲν ΑΙ ἴσον τετράγωνον τὸ ΛΜ, τῷ δὲ ΖΚ ἴσον τετράγωνον ἀφῃρήσθω τὸ ΝΞ περὶ τὴν αὐτὴν γωνίαν τὴν ὑπὸ ΛΟΜ· περὶ τὴν αὐτὴν ἄρα διάμετρόν ἐστι τὰ ΛΜ, ΝΞ τετράγωνα. ἔστω αὐτῶν διάμετρος ἡ ΟΡ, καὶ καταγεγράφθω τὸ σχῆμα. ὁμοίως δὴ δείξομεν, ὅτι ἡ ΛΝ δύναται τὸ ΑΒ χωρίον.

Λέγω, ὅτι ἡ ΛΝ ἡ μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσά ἐστιν.

Ἐπεὶ γὰρ μέσον ἐδείχθη τὸ ΑΚ καί ἐστιν ἴσον τοῖς ἀπὸ τῶν ΛΟ, ΟΝ, τὸ ἄρα συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΛΟ, ΟΝ μέσον ἐστίν. πάλιν, ἐπεὶ ῥητόν ἐστι τὸ ΔΚ καί ἐστιν ἴσον τῷ δὶς ὑπὸ τῶν ΛΟ, ΟΝ, καὶ αὐτὸ ῥητόν ἐστιν. καὶ ἐπεὶ ἀσύμμετρόν ἐστι τὸ ΑΙ τῷ ΖΚ, ἀσύμμετρον ἄρα ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΛΟ τῷ ἀπὸ τῆς ΟΝ· αἱ ΛΟ, ΟΝ ἄρα δυνάμει εἰσὶν ἀσύμμετροι ποιοῦσαι τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπ' αὐτῶν τετραγώνων μέσον, τὸ δὲ δὶς ὑπ' αὐτῶν ῥητόν. ἡ λοιπὴ ἄρα ἡ ΛΝ ἄλογός ἐστιν ἡ καλουμένη μετὰ

---

1. Post *διελεῖ* del. *μήκει* V. 3. *ΑΗ*] *Η* e corr. m. 1 V. 4. *τό*] corr. ex *τῷ* P. 5. *τῇ*] supra scr. m. 1 b. Post *μήκει* add. *καὶ ἤχθωσαν διὰ τῶν Ε, Ζ, Η τῇ ΑΓ* (*Α* b) *παράλληλοι αἱ ΕΘ, ΖΙ, ΗΚ* b, mg. FV. 6. *ΓΑ*] in ras. V, *ΑΓ* P. 8. Ante *σύμμετρος* ras. 1 litt. V. *ἄρα ἐστί* Vb, m. 2 F. 9. *ἑστάτω* b, *ἔστω* V. 10. *τετράγωνον*] supra scr. F. *τὸ ΝΞ*]

secetur, et quadrato EH^2 aequale rectae AH adplicetur spatium figura quadrata deficiens et sit $AZ \times ZH$. itaque AZ, ZH longitudine incommensurabiles sunt. et quoniam AH, ΓA longitudine incommensurabiles, et utraque rationalis est, AK medium est [prop. XXI]. rursus quoniam ΔH rationalis est et rectae $A\Gamma$ longitudine commensurabilis, ΔK rationale est [prop. XIX]. construatur igitur quadratum $\Lambda M = AI$, et spatio ZK aequale auferatur quadratum $N\Xi$ in eodem angulo ΛOM positum. itaque quadrata ΛM, $N\Xi$ circum eandem diametrum posita sunt [VI, 26]. sit OP eorum diametrus, et describatur figura [uol. I p. 137 not.]. eodem igitur modo demonstrabimus, esse $\Lambda N^2 = AB$.

dico, ΛN rectam esse cum rationali totum medium efficientem. quoniam enim demonstrauimus, AK medium esse, et $AK = \Lambda O^2 + ON^2$, $\Lambda O^2 + ON^2$ medium est. rursus quoniam ΔK rationale est, et

$$\Delta K = 2\,\Lambda O \times ON,$$

hoc et ipsum rationale est. et quoniam AI, ZK incommensurabilia sunt, etiam ΛO^2, ON^2 incommensurabilia sunt. quare ΛO, ON potentia incommensurabiles sunt efficientes summam quadratorum mediam, duplum autem rectangulum rationale. itaque reliqua

---

om. Theon (BFVb). 11. ὑπὸ τῶν BFb. ΛOM τὸ $N\Xi$ ($M\Xi$ φ) Theon (BFVb). 12. ἐστι] εἰσι in ras. m. 2 V. τά] in ras. m. 2 V. ΛM] Λ in ras. m. 2 V. 18. συγκείμενον] om. V. 19. ἐστί BV, comp. Fb. 21. αὐτό] τὸ δὶς ἄρα ὑπὸ τῶν ΛO, ON Theon (BFVb). ἐστι PBV, comp. Fb. 22. AI] mut. in AE m. 2 F, AE b. 23. ON] (prius) e corr. V. 25. ἡ] om. B. 26. καλουμένη] κα- supra scr. m. 1 b. ἡ μετά b.

ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσα· καὶ δύναται τὸ ΑΒ χωρίον.

Ἡ τὸ ΑΒ ἄρα χωρίον δυναμένη μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσά ἐστιν· ὅπερ ἔδει δεῖξαι.

Ϙϛʹ.

Ἐὰν χωρίον περιέχηται ὑπὸ ῥητῆς καὶ ἀποτομῆς ἕκτης, ἡ τὸ χωρίον δυναμένη μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσά ἐστιν.

Χωρίον γὰρ τὸ ΑΒ περιεχέσθω ὑπὸ ῥητῆς τῆς ΑΓ καὶ ἀποτομῆς ἕκτης τῆς ΑΔ· λέγω, ὅτι ἡ τὸ ΑΒ χωρίον δυναμένη [ἡ] μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσά ἐστιν.

Ἔστω γὰρ τῇ ΑΔ προσαρμόζουσα ἡ ΔΗ· αἱ ἄρα ΑΗ, ΗΔ ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι, καὶ οὐδετέρα αὐτῶν σύμμετρός ἐστι τῇ ἐκκειμένῃ ῥητῇ τῇ ΑΓ μήκει, ἡ δὲ ὅλη ἡ ΑΗ τῆς προσαρμοζούσης τῆς ΔΗ μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ μήκει. ἐπεὶ οὖν ἡ ΑΗ τῆς ΗΔ μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ μήκει, ἐὰν ἄρα τῷ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ΔΗ ἴσον παρὰ τὴν ΑΗ παραβληθῇ ἐλλεῖπον εἴδει τετραγώνῳ, εἰς ἀσύμμετρα αὐτὴν διελεῖ. τετμήσθω οὖν ἡ ΔΗ δίχα κατὰ τὸ Ε [σημεῖον], καὶ τῷ ἀπὸ τῆς ΕΗ ἴσον παρὰ τὴν ΑΗ παραβεβλήσθω ἐλλεῖπον εἴδει

---

3. ἄρα τὸ ΑΒ V. ἄρα] om. PB, m. 2 F. χωρίον ἄρα B. 4. ὅπερ ἔδει δεῖξαι] comp. P, om. BFVb. 6. ὑπ' P. 8. ἐστι BV, comp. Fb. 9. ΑΒ] ΑΒΓ P. 10. ἕκτης τῆς] corr. ex ἕκτης m. rec. P. 11. ἡ] om. BFVb. 14. καὶ οὐδετέρα] in ras. F. 15. αὐτῶν] τῶν ΑΗ, ΗΔ BVb, e corr. F. 16. τῆς] (alt.) τῆι F. 17. συμμέτρου P. ἑαυτοῦ F. 18. ἐπεί — 19. μήκει] mg. m. 2 B. 19. ἑαυτῆς B, ἑαυτοῦ F. τοῦ] τῷ b. 20. ΑΗ] ΔΗ B. παραβάλωμεν B, παρα-

ΛN irrationalis est cum rationali totum medium efficiens, quae uocatur [prop. LXXVII]. et $\Lambda N^2 = AB$.

Ergo recta spatio AB aequalis quadrata recta cum rationali totum medium efficiens est; quod erat demonstrandum.

XCVI.

Si spatium recta rationali et sexta apotome comprehenditur, recta spatio aequalis quadrata recta est cum medio totum medium efficiens.

Spatium enim AB rationali $A\Gamma$ et sexta apotome $A\Delta$ comprehendatur. dico, rectam spatio AB aequalem quadratam rectam esse cum medio totum medium efficientem.

nam ΔH rectae $A\Delta$ congruens sit. itaque AH, $H\Delta$ rationales sunt potentia tantum commensurabiles, et neutra earum rationali propositae $A\Gamma$ longitudine commensurabilis est, tota autem AH congruentem ΔH quadrata excedit quadrato rectae sibi longitudine incommensurabilis [deff. tert. 6]. iam quoniam AH^2 excedit $H\Delta^2$ quadrato rectae sibi incommensurabilis longitudine, si $\frac{1}{4}\Delta H^2$ aequale rectae AH adplicatur spatium figura quadrata deficiens, in partes incommensurabiles eam diuidet [prop. XVIII]. ΔH igitur in puncto E in duas partes aequales secetur, et quadrato EH^2 aequale rectae AH adplicetur





βαλλόμενον F, παραβάλλωμεν Vb. 22. σημεῖον] om. P. τῷ] τό F. 23. ἴσον] om. V. ἴσον ἐλλεῖπον V.

τετραγώνῳ, καὶ ἔστω τὸ ὑπὸ τῶν ΑΖ, ΖΗ· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΑΖ τῇ ΖΗ μήκει. ὡς δὲ ἡ ΑΖ πρὸς τὴν ΖΗ, οὕτως ἐστὶ τὸ ΑΙ πρὸς τὸ ΖΚ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ ΑΙ τῷ ΖΚ. καὶ ἐπεὶ αἱ ΑΗ, ΑΓ ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι, μέσον ἐστὶ τὸ ΑΚ. πάλιν, ἐπεὶ αἱ ΑΓ, ΔΗ ῥηταί εἰσι καὶ ἀσύμμετροι μήκει, μέσον ἐστὶ καὶ τὸ ΔΚ. ἐπεὶ οὖν αἱ ΑΗ, ΗΔ δυνάμει μόνον σύμμετροί εἰσιν, ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΑΗ τῇ ΗΔ μήκει. ὡς δὲ ἡ ΑΗ πρὸς τὴν ΗΔ, οὕτως ἐστὶ τὸ ΑΚ πρὸς τὸ ΚΔ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ ΑΚ τῷ ΚΔ. συνεστάτω οὖν τῷ μὲν ΑΙ ἴσον τετράγωνον τὸ ΛΜ, τῷ δὲ ΖΚ ἴσον ἀφῃρήσθω περὶ τὴν αὐτὴν γωνίαν τὸ ΝΞ· περὶ τὴν αὐτὴν ἄρα διάμετρόν ἐστι τὰ ΛΜ, ΝΞ τετράγωνα. ἔστω αὐτῶν διάμετρος ἡ ΟΡ, καὶ καταγεγράφθω τὸ σχῆμα. ὁμοίως δὴ τοῖς ἐπάνω δείξομεν, ὅτι ἡ ΛΝ δύναται τὸ ΑΒ χωρίον.

Λέγω, ὅτι ἡ ΛΝ [ἡ] μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσά ἐστιν.

Ἐπεὶ γὰρ μέσον ἐδείχθη τὸ ΑΚ καί ἐστιν ἴσον τοῖς ἀπὸ τῶν ΛΟ, ΟΝ, τὸ ἄρα συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΛΟ, ΟΝ μέσον ἐστίν. πάλιν, ἐπεὶ μέσον ἐδείχθη τὸ ΔΚ καί ἐστιν ἴσον τῷ δὶς ὑπὸ τῶν ΛΟ, ΟΝ, καὶ τὸ δὶς ὑπὸ τῶν ΛΟ, ΟΝ μέσον ἐστίν. καὶ ἐπεὶ ἀσύμμετρον ἐδείχθη τὸ ΑΚ τῷ ΔΚ, ἀσύμμετρα [ἄρα] ἐστὶ καὶ τὰ ἀπὸ τῶν ΛΟ, ΟΝ τετράγωνα τῷ δὶς ὑπὸ τῶν ΛΟ, ΟΝ. καὶ ἐπεὶ ἀσύμμετρόν ἐστι τὸ

---

1. ἀσύμμετρον P, corr. m. 1. 2. ΖΗ] ΗΖ F. 3. ΑΙ] ἀπὸ ΑΙ F. 4. ἐστίν P. ΑΙ] corr. ex ΑΓ m. rec. P. 5. ΑΚ] corr. ex ΔΚ m. rec. P. 6. πάλιν — 7. ΔΚ] om. P. 10. ΚΔ] ΔΚ V. 11. ΚΔ] corr. ex ΔΚ V. 12. ἀφῃρήσθω

spatium figura quadrata deficiens, et sit $AZ \times ZH$. itaque AZ, ZH longitudine incommensurabiles sunt. est autem $AZ : ZH = AI : ZK$ [VI, 1]. itaque AI, ZK incommensurabilia sunt [prop. XI]. et quoniam AH, $A\Gamma$ rationales sunt potentia tantum commensurabiles, AK medium est [prop. XXI]. rursus quoniam $A\Gamma$, ΔH rationales sunt et longitudine incommensurabiles, etiam ΔK medium est [id.]. quoniam igitur AH, $H\Delta$ potentia tantum commensurabiles sunt, AH et $H\Delta$ longitudine incommensurabiles sunt. est autem $AH : H\Delta = AK : K\Delta$ [VI, 1]. itaque AK, $K\Delta$ incommensurabilia sunt [prop. XI]. construatur igitur quadratum $\Lambda M = AI$, et spatio ZK aequale auferatur $N\Xi$ in eodem angulo positum. itaque quadrata ΛM, $N\Xi$ circum eandem diametrum posita sunt [VI, 26]. sit OP eorum diametrus, et describatur figura [uol. I p. 137 not.]. eodem igitur modo, quo supra, demonstrabimus, esse $\Lambda N^2 = AB$.

dico, ΛN rectam esse cum medio totum medium efficientem. nam quoniam demonstrauimus, AK medium esse, et $AK = \Lambda O^2 + ON^2$, $\Lambda O^2 + ON^2$ medium est. rursus quoniam demonstrauimus ΔK medium esse, et $\Delta K = 2\,\Lambda O \times ON$, etiam $2\,\Lambda O \times ON$ medium est. et quoniam demonstrauimus, AK et ΔK incommensurabilia esse, etiam $\Lambda O^2 + ON^2$ et $2\,\Lambda O \times ON$ incommensurabilia sunt. et quoniam AI, ZK incom-

---

τὸ $N\Xi$ V. 13. *περί — γωνίαν*] om. Fb, mg. m. 2 B. *αὐτήν*] (prius) *αὐτὴν τὴν ὑπὸ* ΛOM V. *τὸ* $N\Xi$] om. V. 14. *ἐστι*] *εἰσι* V. *τετράγωνα*] om. V. 16. *δύναται* — 18. ΛN] mg. m. 2 V. 18. *ἡ*] (alt.) om. P. 20. *ἴσον*] m. 2 F. 22. *ἐστί* PBVb, comp. F. 24. *ἐστί* PBV, comp. Fb. 26. *ἄρα*] om. BFVb.

ΛΙ τῷ ΖΚ, ἀσύμμετρον ἄρα καὶ τὸ ἀπὸ τῆς ΛΟ τῷ ἀπὸ τῆς ΟΝ· αἱ ΛΟ, ΟΝ ἄρα δυνάμει εἰσὶν ἀσύμμετροι ποιοῦσαι τό τε συγκείμενον ἐκ τῶν ἀπʼ αὐτῶν τετραγώνων μέσον καὶ τὸ δὶς ὑπʼ αὐτῶν μέσον ἔτι τε τὰ ἀπʼ αὐτῶν τετράγωνα ἀσύμμετρα τῷ δὶς ὑπʼ αὐτῶν. ἡ ἄρα ΛΝ ἄλογός ἐστιν ἡ καλουμένη μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσα· καὶ δύναται τὸ ΑΒ χωρίον.

Ἡ ἄρα τὸ χωρίον δυναμένη μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσά ἐστιν· ὅπερ ἔδει δεῖξαι.

ϟζʹ.

Το ἀπὸ ἀποτομῆς παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν πρώτην.

Ἔστω ἀποτομὴ ἡ ΑΒ, ῥητὴ δὲ ἡ ΓΔ, καὶ τῷ ἀπὸ τῆς ΑΒ ἴσον παρὰ τὴν ΓΔ παραβεβλήσθω τὸ ΓΕ πλάτος ποιοῦν τὴν ΓΖ· λέγω, ὅτι ἡ ΓΖ ἀποτομή ἐστι πρώτη.

Ἔστω γὰρ τῇ ΑΒ προσαρμόζουσα ἡ ΒΗ· αἱ ἄρα ΑΗ, ΗΒ ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι. καὶ τῷ μὲν ἀπὸ τῆς ΑΗ ἴσον παρὰ τὴν ΓΔ παραβεβλήσθω τὸ ΓΘ, τῷ δὲ ἀπὸ τῆς ΒΗ τὸ ΚΛ. ὅλον ἄρα τὸ ΓΛ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΑΗ, ΗΒ· ὧν τὸ ΓΕ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΒ· λοιπὸν ἄρα τὸ ΖΛ ἴσον ἐστὶ τῷ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ. τετμήσθω ἡ ΖΜ δίχα κατὰ τὸ Ν σημεῖον, καὶ ἤχθω διὰ τοῦ Ν τῇ ΓΔ παράλληλος ἡ ΝΞ· ἑκάτερον ἄρα τῶν ΖΞ, ΛΝ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΑΗ, ΗΒ. καὶ ἐπεὶ τὰ ἀπὸ

---

2. ΟΝ] (prius) ΝΟ P. 3. τε] μέν BFVb. συγκείμενον] m. 2 V. 4. καί] ins. m. 1 V. ἔτι] ε- in ras. V. 6. ΛΝ] corr. ex ΑΝ B. 7. ποιοῦσαι φ. 8. χωρίον] ΑΒ BFb, ΑΒ χωρίον V. 9. ὅπερ ἔδει δεῖξαι] :~ P. 11. ἀπό] om. b.

mensurabilia sunt, etiam ΛO^2, ON^2 incommensurabilia sunt. itaque ΛO, ON potentia incommensurabiles sunt efficientes summam quadratorum mediam et duplum rectangulum medium et praeterea quadrata et duplum rectangulum incommensurabilia. itaque ΛN irrationalis est cum medio totum medium efficiens, quae uocatur [prop. LXXVIII]. et $\Lambda N^2 = AB$.

Ergo recta spatio illo aequalis quadrata recta est cum medio totum medium efficiens; quod erat demonstrandum.

XCVII.

Quadratum apotomes rectae rationali adplicatum latitudinem efficit apotomen primam.

Sit AB apotome, $\Gamma\Delta$ autem rationalis, et quadrato AB^2 aequale rectae $\Gamma\Delta$ adplicetur ΓE latitudinem efficiens ΓZ. dico, ΓZ primam esse apotomen.



nam BH rectae AB congruens sit. itaque AH, HB rationales sunt potentia tantum commensurabiles [prop. LXXIII]. et rectae $\Gamma\Delta$ adplicetur $\Gamma\Theta = AH^2$, $K\Lambda = BH^2$. itaque totum $\Gamma\Lambda = AH^2 + HB^2$. quorum $\Gamma E = AB^2$. itaque reliquum $Z\Lambda = 2\,AH \times HB$ [II, 7]. iam ZM in puncto N in duas partes aequales secetur, et per N rectae $\Gamma\Delta$ parallela ducatur $N\Xi$. itaque $Z\Xi = \Lambda N = AH \times HB$. et quoniam $AH^2 + HB^2$

---

12. ποεὶ P, corr. m. 1. 17. AB] B in ras. V. BH] HB e corr. V. 19. AH] corr. ex $A\Delta$ m. 1 F. 22. $Z\Lambda$] ΛZ P. 23. τῶν] om. P. 25. $Z\Xi$] ΞZ F. ΛN] corr. ex $N\Lambda$ V. 26. τῷ ἅπαξ ὑπό V.

τῶν ΑΗ, ΗΒ ῥητά ἐστιν, καί ἐστι τοῖς ἀπὸ τῶν ΑΗ, ΗΒ ἴσον τὸ ΔΜ, ῥητὸν ἄρα ἐστὶ τὸ ΔΜ. καὶ παρὰ ῥητὴν τὴν ΓΔ παραβέβληται πλάτος ποιοῦν τὴν ΓΜ· ῥητὴ ἄρα ἐστὶν ἡ ΓΜ καὶ σύμμετρος τῇ ΓΔ μήκει. πάλιν, ἐπεὶ μέσον ἐστὶ τὸ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ, καὶ τῷ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ ἴσον τὸ ΖΛ, μέσον ἄρα τὸ ΖΛ. καὶ παρὰ ῥητὴν τὴν ΓΔ παράκειται πλάτος ποιοῦν τὴν ΖΜ· ῥητὴ ἄρα ἐστὶν ἡ ΖΜ καὶ ἀσύμμετρος τῇ ΓΔ μήκει. καὶ ἐπεὶ τὰ μὲν ἀπὸ τῶν ΑΗ, ΗΒ ῥητά ἐστιν, τὸ δὲ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ μέσον, ἀσύμμετρα ἄρα ἐστὶ τὰ ἀπὸ τῶν ΑΗ, ΗΒ τῷ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ. καὶ τοῖς μὲν ἀπὸ τῶν ΑΗ, ΗΒ ἴσον ἐστὶ τὸ ΓΛ, τῷ δὲ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ τὸ ΖΛ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ ΔΜ τῷ ΖΛ. ὡς δὲ τὸ ΔΜ πρὸς τὸ ΖΛ, οὕτως ἐστὶν ἡ ΓΜ πρὸς τὴν ΖΜ. ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΓΜ τῇ ΖΜ μήκει. καί εἰσιν ἀμφότεραι ῥηταί· αἱ ἄρα ΓΜ, ΜΖ ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἡ ΓΖ ἄρα ἀποτομή ἐστιν.

Λέγω δή, ὅτι καὶ πρώτη.

Ἐπεὶ γὰρ τῶν ἀπὸ τῶν ΑΗ, ΗΒ μέσον ἀνάλογόν ἐστι τὸ ὑπὸ τῶν ΑΗ, ΗΒ, καί ἐστι τῷ μὲν ἀπὸ τῆς ΑΗ ἴσον τὸ ΓΘ, τῷ δὲ ἀπὸ τῆς ΒΗ ἴσον τὸ ΚΛ, τῷ δὲ ὑπὸ τῶν ΑΗ, ΗΒ τὸ ΝΛ, καὶ τῶν ΓΘ, ΚΛ ἄρα μέσον ἀνάλογόν ἐστι τὸ ΝΛ· ἔστιν ἄρα ὡς τὸ ΓΘ πρὸς τὸ ΝΛ, οὕτως τὸ ΝΛ πρὸς τὸ ΚΛ. ἀλλ' ὡς μὲν τὸ ΓΘ πρὸς τὸ ΝΛ, οὕτως ἐστὶν ἡ ΓΚ πρὸς

---

1. *ῥητά* — 2. *ΗΒ*] mg. m. 2 B. 1. *ἐστιν*] *ἐστι* PBVb, comp. F. *καί ἐστι τοῖς*] *τοῖς δέ* V. 3. *παράκειται* Theon (BFVb); *παραβέβληται* supra add. m. 2 B. 6. *τῷ*] corr. ex *τό* FV. 8. *ἐστίν*] *ἐστὶ καί* F. *καὶ ἀσύμμετρος*] bis b. 10. *ἐστι* BV, comp. b, *εἰσι* F? *μέσα* P, et F, corr. m. 1. 11. *ἄρα*] om. B. *ἐστίν* P. 12. *καί*] *καί ἐστι* BFVb. *ἐστί*]

rationale est, et $\Delta M = AH^2 + HB^2$, ΔM rationale est. et rectae rationali $\Gamma\Delta$ adplicatum est latitudinem efficiens ΓM. itaque ΓM rationalis est et rectae $\Gamma\Delta$ longitudine commensurabilis [prop. XX]. rursus quoniam medium est $2\,AH \times HB$, et $Z\Lambda = 2\,AH \times HB$, $Z\Lambda$ medium est. et rectae rationali $\Gamma\Delta$ adplicatum est latitudinem efficiens ZM. itaque ZM rationalis est et rectae $\Gamma\Delta$ longitudine incommensurabilis [prop. XXII]. et quoniam $AH^2 + HB^2$ rationale est, $2\,AH \times HB$ autem medium, $AH^2 + HB^2$ et $2\,AH \times HB$ incommensurabilia sunt. et

$$\Gamma\Lambda = AH^2 + HB^2,\ Z\Lambda = 2\,AH \times HB.$$

itaque ΔM, $Z\Lambda$ incommensurabilia sunt. est autem $\Delta M : Z\Lambda = \Gamma M : ZM$ [VI, 1]. itaque ΓM, ZM longitudine incommensurabiles sunt [prop. XI]. et utraque rationalis est. itaque ΓM, MZ rationales sunt potentia tantum commensurabiles. ergo ΓZ apotome est [prop. LXXIII].

iam dico, eandem primam esse. quoniam enim $AH \times HB$ medium est proportionale inter AH^2 et HB^2 [prop. XXI lemma], et $\Gamma\Theta = AH^2$, $K\Lambda = BH^2$, $N\Lambda = AH \times HB$, erit etiam $N\Lambda$ medium proportionale inter $\Gamma\Theta$, $K\Lambda$. quare $\Gamma\Theta : N\Lambda = N\Lambda : K\Lambda$. est autem $\Gamma\Theta : N\Lambda = \Gamma K : NM$ et $N\Lambda : K\Lambda = NM : KM$ [VI, 1]. itaque $\Gamma K \times KM = MN^2$ [VI, 17] $= \frac{1}{4} ZM^2$.

---

om. BFVb. 13. HB] corr. ex AB m. 1 b, HB ἴσον V. 15. τήν] om. B. 18. ἐστι BVb, comp. F. 21. ἐστι] (alt.) ἐστιν P. τῷ] corr. ex τό m. 1 F. 22. τῷ δὲ ὑπὸ τῶν AH, HB ἴσον τὸ $N\Lambda$, τῷ δὲ ἀπὸ τῆς BH ἴσον τὸ $K\Lambda$· καί κτλ. Theon (BFVb). 24. $N\Lambda$] e corr. V. ἔστιν — 25. πρὸς τὸ $N\Lambda$] mg. m. 1 P. 25. $N\Lambda$] corr. ex ΛN V. οὕτως — 26. $N\Lambda$] mg. m. 2 B. 26. $N\Lambda$] corr. ex ΛN V. ἐστίν] m. 2 F. ἡ] ras. 1 litt. b.

τὴν ΝΜ· ὡς δὲ τὸ ΝΛ πρὸς τὸ ΚΛ, οὕτως ἐστὶν ἡ ΝΜ πρὸς τὴν ΚΜ· τὸ ἄρα ὑπὸ τῶν ΓΚ, ΚΜ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΝΜ, τουτέστι τῷ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ΖΜ. καὶ ἐπεὶ σύμμετρόν ἐστι τὸ ἀπὸ τῆς ΑΗ τῷ ἀπὸ τῆς ΗΒ, σύμμετρόν [ἐστι] καὶ τὸ ΓΘ τῷ ΚΛ. ὡς δὲ τὸ ΓΘ πρὸς τὸ ΚΛ, οὕτως ἡ ΓΚ πρὸς τὴν ΚΜ· σύμμετρος ἄρα ἐστὶν ἡ ΓΚ τῇ ΚΜ. ἐπεὶ οὖν δύο εὐθεῖαι ἄνισοί εἰσιν αἱ ΓΜ, ΜΖ, καὶ τῷ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ΖΜ ἴσον παρὰ τὴν ΓΜ παραβέβληται ἐλλεῖπον εἴδει τετραγώνῳ τὸ ὑπὸ τῶν ΓΚ, ΚΜ, καί ἐστι σύμμετρος ἡ ΓΚ τῇ ΚΜ, ἡ ἄρα ΓΜ τῆς ΜΖ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει. καί ἐστιν ἡ ΓΜ σύμμετρος τῇ ἐκκειμένῃ ῥητῇ τῇ ΓΔ μήκει· ἡ ἄρα ΓΖ ἀποτομή ἐστι πρώτη.

Τὸ ἄρα ἀπὸ ἀποτομῆς παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν πρώτην· ὅπερ ἔδει δεῖξαι.

ϙη΄.

Τὸ ἀπὸ μέσης ἀποτομῆς πρώτης παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν δευτέραν.

Ἔστω μέσης ἀποτομὴ πρώτη ἡ ΑΒ, ῥητὴ δὲ ἡ ΓΔ, καὶ τῷ ἀπὸ τῆς ΑΒ ἴσον παρὰ τὴν ΓΔ παραβεβλήσθω τὸ ΓΕ πλάτος ποιοῦν τὴν ΓΖ· λέγω, ὅτι ἡ ΓΖ ἀποτομή ἐστι δευτέρα.

Ἔστω γὰρ τῇ ΑΒ προσαρμόζουσα ἡ ΒΗ· αἱ ἄρα ΑΗ, ΗΒ μέσαι εἰσὶ δυνάμει μόνον σύμμετροι ῥητὸν περιέχουσαι. καὶ τῷ μὲν ἀπὸ τῆς ΑΗ ἴσον παρὰ τὴν

---

1. ὡς δέ — 2. ΚΜ] om. F, uidetur fuisse in mg. 2. Post prius ΚΜ add. καὶ ὡς ἄρα ἡ ΓΚ πρὸς τὴν ΝΜ (ΜΝ F), οὕτως ἡ

et quoniam AH^2, HB^2 commensurabilia sunt, etiam $\Gamma\Theta$, $K\Delta$ commensurabilia sunt. est autem

$$\Gamma\Theta : K\Delta = \Gamma K : KM$$

[VI, 1]. itaque ΓK, KM commensurabiles sunt [prop. XI]. iam quoniam sunt duae rectae inaequales ΓM, MZ, et $\frac{1}{4} ZM^2$ aequale spatium rectae ΓM adplicatum est $\Gamma K \times KM$ figura quadrata deficiens, et ΓK, KM commensurabiles sunt, ΓM^2 excedit MZ^2 quadrato rectae sibi commensurabilis longitudine [prop. XVII]. et ΓM rationali propositae $\Gamma\Delta$ longitudine commensurabilis est. itaque ΓZ apotome est prima [deff. tert. 1].

Ergo quadratum apotomes rectae rationali adplicatum latitudinem efficit apotomen primam; quod erat demonstrandum.

XCVIII.

Quadratum mediae apotomes primae rectae rationali adplicatum latitudinem efficit apotomen secundam.

Sit AB mediae apotome prima, $\Gamma\Delta$ autem rationalis, et quadrato AB^2 aequale rectae $\Gamma\Delta$ adplicetur ΓE latitudinem efficiens ΓZ. dico, ΓZ apotomen esse secundam.

nam BH rectae AB congruens sit. itaque AH, HB mediae sunt potentia tantum commensurabiles

---

NM πρὸς τὴν KM FVb. 3. τουτέστιν P. 4. σύμμετρος P, corr. m. rec. ἔστιν P. 5. ἔστι] om. P. 11. ἔστιν P. ἀσύμμετρος F. 12. ΓM] $M\Gamma$ e corr. V; KM supra scr. Γ b. MZ] ZM F. ἀσυμμέτρου b, ἀ- add. m. 2 F. 15. παρὰ ῥητήν] om. V. 16. ὅπερ ἔδει δεῖξαι] comp. P, om. BFVb. 21. μέση BFVb. 22. Post παρά del. ῥη m. 1 P. $\Gamma\Delta$] ΓM F. 23. ΓE] corr. ex $\Gamma\Theta$ m. rec. P. 25. BH] corr. ex ZH m. 2 V. αἱ ἄρα] ἄρα ἡ F. 26. εἰσίν B.

ΓΔ παραβεβλήσθω τὸ ΓΘ πλάτος ποιοῦν τὴν ΓΚ, τῷ δὲ ἀπὸ τῆς ΗΒ ἴσον τὸ ΚΛ πλάτος ποιοῦν τὴν ΚΜ· ὅλον ἄρα τὸ ΓΛ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΑΗ, ΗΒ· μέσον ἄρα καὶ τὸ ΓΛ. καὶ παρὰ ῥητὴν τὴν ΓΔ παράκειται πλάτος ποιοῦν τὴν ΓΜ· ῥητὴ ἄρα ἐστὶν ἡ ΓΜ καὶ ἀσύμμετρος τῇ ΓΔ μήκει. καὶ ἐπεὶ τὸ ΓΛ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΑΗ, ΗΒ, ὧν τὸ ἀπὸ τῆς ΑΒ ἴσον ἐστὶ τῷ ΓΕ, λοιπὸν ἄρα τὸ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ ἴσον ἐστὶ τῷ ΖΛ. ῥητὸν δέ [ἐστι] τὸ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ· ῥητὸν ἄρα τὸ ΖΛ. καὶ παρὰ ῥητὴν τὴν ΖΕ παράκειται πλάτος ποιοῦν τὴν ΖΜ· ῥητὴ ἄρα ἐστὶ καὶ ἡ ΖΜ καὶ σύμμετρος τῇ ΓΔ μήκει. ἐπεὶ οὖν τὰ μὲν ἀπὸ τῶν ΑΗ, ΗΒ, τουτέστι τὸ ΓΛ, μέσον ἐστίν, τὸ δὲ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ, τουτέστι τὸ ΖΛ, ῥητόν, ἀσύμμετρον ἄρα ἐστὶ τὸ ΓΛ τῷ ΖΛ. ὡς δὲ τὸ ΓΛ πρὸς τὸ ΖΛ, οὕτως ἐστὶν ἡ ΓΜ πρὸς τὴν ΖΜ· ἀσύμμετρος ἄρα ἡ ΓΜ τῇ ΖΜ μήκει. καί εἰσιν ἀμφότεραι ῥηταί· αἱ ἄρα ΓΜ, ΜΖ ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἡ ΓΖ ἄρα ἀποτομή ἐστιν.

Λέγω δή, ὅτι καὶ δευτέρα.

Τετμήσθω γὰρ ἡ ΖΜ δίχα κατὰ τὸ Ν, καὶ ἤχθω διὰ τοῦ Ν τῇ ΓΔ παράλληλος ἡ ΝΞ· ἑκάτερον ἄρα τῶν ΖΞ, ΝΛ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΑΗ, ΗΒ. καὶ ἐπεὶ τῶν ἀπὸ τῶν ΑΗ, ΗΒ τετραγώνων μέσον ἀνά-

---

1. *τὸ ἄρα βεβλήσθω* φ. *τὸ ΓΘ*] om. V, supra est ras. *ΓΚ*] *ΓΚ τὸ ΓΘ* V. 3. *ΓΛ*] *ΓΔ* b. 4. Post *ΗΒ* add. *καί ἐστι τὰ ἀπὸ τῶν ΑΗ, ΗΒ μέσα καὶ ἴσα τῷ ΓΛ* V. 5. *ῥητή*] *-τή* in ras. P. 6. *ἡ ΓΜ καί*] m. 2 F. 8. *ἐστὶ τῷ ΓΕ*] *τῷ ΓΕ ὧν* φ. 9. *ἐστι*] om. P. 10. *ἄρα*] *ἐστι καί* V, supra add. *ἄρα* m. 2; *ἄρα καί* F? (*καί* φ). 12. *ἐστίν* B. 14. *ἐστί* PBFV, comp. b. *ΗΒ ῥητόν* V. *ΖΛ*] *ΓΛ*, supra scr. Ζ, b. 15. *ῥητόν*] om. V. *ἄρα*] m. 2 F. 16. *πρὸς τό*] *τῷ* B, corr. m. 2. *ἐστίν*] om. V. 17. *ἀσύμμετρος — ΖΜ*]



spatium rationale comprehendentes [prop. LXXIV]. et quadrato AH^2 aequale rectae $\Gamma\Delta$ adplicetur $\Gamma\Theta$ latitudinem efficiens ΓK, quadrato autem HB^2 aequale $K\Lambda$ latitudinem efficiens KM. quare totum $\Gamma\Lambda = AH^2 + HB^2$. quare etiam $\Gamma\Lambda$ medium est. et rectae rationali $\Gamma\Delta$ adplicatum est latitudinem efficiens ΓM. itaque ΓM rationalis est et rectae $\Gamma\Delta$ longitudine incommensurabilis [prop. XXII]. et quoniam est

$$\Gamma\Lambda = AH^2 + HB^2,$$

quorum $AB^2 = \Gamma E$, erit reliquum $2\,AH \times HB = Z\Lambda$ [II, 7]. uerum $2\,AH \times HB$ rationale est. itaque $Z\Lambda$ rationale est. et rectae rationali ZE adplicatum est latitudinem efficiens ZM. itaque etiam ZM rationalis est et rectae $\Gamma\Delta$ longitudine commensurabilis [prop. XX]. quoniam igitur $AH^2 + HB^2$, hoc est $\Gamma\Lambda$, medium est, et $2\,AH \times HB$, hoc est $Z\Lambda$, rationale, $\Gamma\Lambda$ et $Z\Lambda$ incommensurabilia sunt. est autem

$$\Gamma\Lambda : Z\Lambda = \Gamma M : ZM$$

[VI, 1]. itaque ΓM, ZM longitudine incommensurabiles sunt [prop. XI]. et utraque rationalis est. itaque ΓM, MZ rationales sunt potentia tantum commensurabiles. ergo ΓZ apotome est [prop. LXXIII].

iam dico, eandem secundam esse. ZM enim in N in duas partes aequales secetur, et per N rectae $\Gamma\Delta$ parallela ducatur $N\Xi$. itaque $Z\Xi = N\Lambda = AH \times HB$.

---

mg. m. 2 B. 18. *ἄρα*] φ, post *MZ* hab. F. 19. *ἐστι* BVb, comp. F. 20. *ὅτι ἐστί* Vb. *δευτέρα ἐστίν* B. 23. ZΞ] Z in ras. B. 24. *ἐπεί*] *ἔτι* B (supra est ras.).

λογόν ἐστι τὸ ὑπὸ τῶν ΑΗ, ΗΒ, καί ἐστιν ἴσον τὸ μὲν ἀπὸ τῆς ΑΗ τῷ ΓΘ, τὸ δὲ ὑπὸ τῶν ΑΗ, ΗΒ τῷ ΝΛ, τὸ δὲ ἀπὸ τῆς ΒΗ τῷ ΚΛ, καὶ τῶν ΓΘ, ΚΛ ἄρα μέσον ἀνάλογόν ἐστι τὸ ΝΛ· ἔστιν ἄρα ὡς τὸ ΓΘ πρὸς τὸ ΝΛ, οὕτως τὸ ΝΛ πρὸς τὸ ΚΛ. ἀλλ' ὡς μὲν τὸ ΓΘ πρὸς τὸ ΝΛ, οὕτως ἐστὶν ἡ ΓΚ πρὸς τὴν ΝΜ, ὡς δὲ τὸ ΝΛ πρὸς τὸ ΚΛ, οὕτως ἐστὶν ἡ ΝΜ πρὸς τὴν ΜΚ· ὡς ἄρα ἡ ΓΚ πρὸς τὴν ΝΜ, οὕτως ἐστὶν ἡ ΝΜ πρὸς τὴν ΚΜ· τὸ ἄρα ὑπὸ τῶν ΓΚ, ΚΜ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΝΜ, τουτέστι τῷ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ΖΜ [καὶ ἐπεὶ σύμμετρόν ἐστι τὸ ἀπὸ τῆς ΑΗ τῷ ἀπὸ τῆς ΒΗ, σύμμετρόν ἐστι καὶ τὸ ΓΘ τῷ ΚΛ, τουτέστιν ἡ ΓΚ τῇ ΚΜ]. ἐπεὶ οὖν δύο εὐθεῖαι ἄνισοί εἰσιν αἱ ΓΜ, ΜΖ, καὶ τῷ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ΜΖ ἴσον παρὰ τὴν μείζονα τὴν ΓΜ παραβέβληται ἐλλεῖπον εἴδει τετραγώνῳ τὸ ὑπὸ τῶν ΓΚ, ΚΜ καὶ εἰς σύμμετρα αὐτὴν διαιρεῖ, ἡ ἄρα ΓΜ τῆς ΜΖ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει. καί ἐστιν ἡ προσαρμόζουσα ἡ ΖΜ σύμμετρος μήκει τῇ ἐκκειμένῃ ῥητῇ τῇ ΓΔ· ἡ ἄρα ΓΖ ἀποτομή ἐστι δευτέρα.

Τὸ ἄρα ἀπὸ μέσης ἀποτομῆς πρώτης παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν δευτέραν· ὅπερ ἔδει δεῖξαι.

ϙθ'.

Τὸ ἀπὸ μέσης ἀποτομῆς δευτέρας παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν τρίτην.

---

1. *ἔστιν*] *ἔστι* V. *ἴσον*] supra scr. m. 1 V. 2. *τῷ*] in ras. V. 3. *τῷ*] *τῶν* mut. in *τό* m. 1 V. *τό*] *τῷ* P. *τῷ*] *τό* PV. *τῶν*] *τῷ* b. 5. *τὸ ΝΛ*] (alt.) mg. m. 2 F. *πρὸς τὸ ΚΛ*] *τὸ ΝΛ* φ. Deinde del. m. 1: *ἀλλ' ὡς μὲν τὸ ΓΘ πρὸς*

et quoniam $\Lambda H \times HB$ medium est proportionale inter ΛH^2 et HB^2 [prop. XXI lemma], et $\Delta H^2 = \Gamma\Theta$, $\Lambda H \times HB = N\Lambda$, $BH^2 = K\Lambda$, etiam $N\Lambda$ medium est proportionale inter $\Gamma\Theta$, $K\Lambda$. itaque erit $\Gamma\Theta : N\Lambda = N\Lambda : K\Lambda$. uerum $\Gamma\Theta : N\Lambda = \Gamma K : NM$, $N\Lambda : K\Lambda = NM : MK$ [VI, 1]. quare $\Gamma K : NM = NM : KM$. itaque $\Gamma K \times KM = NM^2$ [VI, 17], hoc est $= \frac{1}{4} ZM^2$. iam quoniam sunt duae rectae inaequales ΓM, MZ, et $\frac{1}{4} MZ^2$ aequale maiori ΓM adplicatum est spatium $\Gamma K \times KM$ figura quadrata deficiens et eam in partes commensurabiles[1]) diuidit, ΓM^2 excedit MZ^2 quadrato rectae sibi commensurabilis longitudine [prop. XVII]. et congruens ZM rationali propositae $\Gamma\Delta$ longitudine commensurabilis est. itaque ΓZ apotome est secunda [deff. tert. 2].

Ergo quadratum mediae apotomes primae rectae rationali adplicatum latitudinem efficit apotomen secundam; quod erat demonstrandum.

IC.

Quadratum mediae apotomes secundae rectae rationali adplicatum latitudinem efficit apotomen tertiam.

---

1) Nam ΛH^2 et BH^2 commensurabilia sunt, et

$$\Lambda H^2 : BH^2 = \Gamma\Theta : K\Lambda = \Gamma K : KM$$

[VI, 1]; tum u. prop. XI.

τὸ $N\Lambda$, οὕτως τὸ $N\Lambda$ πρὸς τὸ $K\Lambda$ V. 8. NM] N in ras. V. 9. ἐστίν] om. V. 11. τοῦ] τῷ F. καὶ ἐπεί — 13. KM] om. P. 12. ἐστι] om. Fb. Post BH del. οὕτως m. 1 V. 13. ἐστι] supra scr. m. 1 FV. 14. δύο εὐθεῖαι] supra scr. m. 1 F. καὶ τῷ] τῷ δέ BFVb. 15. τῆς] e corr. V. MZ] corr. ex ZM V. 17. τό] mut. in τῷ m. 2 P. 18. τῆς] corr. ex τῇ m. rec. V. 20. Mg. γρ. ἀσύμμετρος m. 1 P. $\Gamma\Delta$] $\Gamma\Delta$ μήκει φ. 22. πρώτης] om. P. 24. ὅπερ ἔδει δεῖξαι] :≻— P, om. BFVb.

Ἔστω μέσης ἀποτομὴ δευτέρα ἡ ΑΒ, ῥητὴ δὲ ἡ ΓΔ, καὶ τῷ ἀπο τῆς ΑΒ ἴσον παρὰ τὴν ΓΔ παραβεβλήσθω τὸ ΓΕ πλάτος ποιοῦν τὴν ΓΖ· λέγω, ὅτι ἡ ΓΖ ἀποτομή ἐστι τρίτη.

Ἔστω γὰρ τῇ ΑΒ προσαρμόζουσα ἡ ΒΗ· αἱ ἄρα ΑΗ, ΗΒ μέσαι εἰσὶ δυνάμει μόνον σύμμετροι μέσον περιέχουσαι. καὶ τῷ μὲν ἀπὸ τῆς ΑΗ ἴσον παρὰ τὴν ΓΔ παραβεβλήσθω τὸ ΓΘ πλάτος ποιοῦν τὴν ΓΚ, τῷ δὲ ἀπὸ τῆς ΒΗ ἴσον παρὰ τὴν ΚΘ παραβεβλήσθω τὸ ΚΛ πλάτος ποιοῦν τὴν ΚΜ· ὅλον ἄρα τὸ ΓΛ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΑΗ, ΗΒ [καί ἐστι μέσα τὰ ἀπὸ τῶν ΑΗ, ΗΒ]· μέσον ἄρα καὶ τὸ ΓΛ. καὶ παρὰ ῥητὴν τὴν ΓΔ παραβέβληται πλάτος ποιοῦν τὴν ΓΜ· ῥητὴ ἄρα ἐστὶν ἡ ΓΜ καὶ ἀσύμμετρος τῇ ΓΔ μήκει. καὶ ἐπεὶ ὅλον τὸ ΓΛ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΑΗ, ΗΒ, ὧν τὸ ΓΕ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΒ, λοιπὸν ἄρα τὸ ΛΖ ἴσον ἐστὶ τῷ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ. τετμήσθω οὖν ἡ ΖΜ δίχα κατὰ τὸ Ν σημεῖον, καὶ τῇ ΓΔ παράλληλος ἤχθω ἡ ΝΞ· ἑκάτερον ἄρα τῶν ΖΞ, ΝΛ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΑΗ, ΗΒ. μέσον δὲ τὸ ὑπὸ τῶν ΑΗ, ΗΒ· μέσον ἄρα ἐστὶ καὶ τὸ ΖΛ. καὶ παρὰ ῥητὴν τὴν ΕΖ παράκειται πλάτος ποιοῦν τὴν ΖΜ· ῥητὴ ἄρα καὶ ἡ ΖΜ καὶ ἀσύμμετρος τῇ ΓΔ μήκει. καὶ ἐπεὶ αἱ ΑΗ, ΗΒ δυνάμει μόνον εἰσὶ σύμμετροι, ἀσύμμετρος ἄρα [ἐστὶ] μήκει ἡ ΑΗ τῇ ΗΒ· ἀσύμμετρον ἄρα ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΑΗ τῷ ὑπὸ τῶν ΑΗ, ΗΒ. ἀλλὰ τῷ μὲν ἀπὸ τῆς ΑΗ σύμμετρά ἐστι τὰ ἀπὸ τῶν

---

1. *μέση* BV. *δευτέρα*] in ras. V. 4. *τρίτη ἐστίν* BFVb. 9. *ΚΘ*] corr. ex *ΓΘ* V. 10. *ΚΜ*] corr. ex *ΚΛ* m. 1 F. *ΓΛ*] corr. ex *ΚΛ* V. 11. *καί* — 12. *ΗΒ*] om. FVb, m. 2 B. 13. *ῥητόν* P. 17. *ΛΖ*] corr. ex ΖΛ V. 21.

Sit AB mediae apotome secunda, $\Gamma\Delta$ autem rationalis, et quadrato AB^2 aequale rectae $\Gamma\Delta$ adplicetur ΓE latitudinem efficiens ΓZ. dico, ΓZ apotomen tertiam esse.



nam BH rectae AB congruens sit. itaque AH, HB mediae sunt potentia tantum commensurabiles spatium medium comprehendentes [prop. LXXV]. et quadrato AH^2 aequale rectae $\Gamma\Delta$ adplicetur $\Gamma\Theta$ latitudinem efficiens ΓK, quadrato autem BH^2 aequale rectae $K\Theta$ adplicetur $K\Lambda$ latitudinem efficiens KM. itaque totum $\Gamma\Lambda = AH^2 + HB^2$. et $AH^2 + HB^2$ medium est. itaque etiam $\Gamma\Lambda$ medium est. et rationali $\Gamma\Delta$ adplicatum est latitudinem efficiens ΓM. quare ΓM rationalis est et rectae $\Gamma\Delta$ longitudine incommensurabilis [prop. XXII]. et quoniam est $\Gamma\Lambda = AH^2 + HB^2$, quorum $\Gamma E = AB^2$, erit reliquum $\Lambda Z = 2\,AH \times HB$ [II, 7]. iam ZM in puncto N in duas partes aequales secetur, et rectae $\Gamma\Delta$ parallela ducatur $N\Xi$. itaque $Z\Xi = N\Lambda = AH \times HB$. uerum $AH \times HB$ medium est. itaque etiam $Z\Lambda$ medium est. et rectae rationali EZ adplicatum est latitudinem efficiens ZM. quare ZM rationalis est et rectae $\Gamma\Delta$ longitudine incommensurabilis [prop. XXII]. et quoniam AH, HB potentia tantum commensurabiles sunt, AH et HB longitudine incommensurabiles sunt. quare etiam AH^2 et $AH \times HB$ incommensurabilia sunt [prop. XXI lemma, prop. XI].

$Z\Lambda$] corr. ex $Z\Delta$ m. rec. P, mut. in ΛZ V. 23. *καί*] (primum) *ἐστιν* V. 25. *ἐστί*] om. P. AH] H in ras. V. *τῇ*] om. b.

ΑΗ, ΗΒ, τῷ δὲ ὑπο τῶν ΑΗ, ΗΒ τὸ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ· ἀσύμμετρα ἄρα ἐστὶ τὰ ἀπὸ τῶν ΑΗ, ΗΒ τῷ δὶς υπὸ τῶν ΑΗ, ΗΒ. ἀλλὰ τοῖς μὲν ἀπὸ τῶν ΑΗ, ΗΒ ἴσον ἐστὶ τὸ ΓΛ, τῷ δὲ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ ἴσον ἐστὶ τὸ ΖΛ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ ΓΛ τῷ ΖΛ. ὡς δὲ τὸ ΓΛ πρὸς τὸ ΖΛ, οὕτως ἐστὶν ἡ ΓΜ πρὸς τὴν ΖΜ· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΓΜ τῇ ΖΜ μήκει. καί εἰσιν ἀμφότεραι ῥηταί· αἱ ἄρα ΓΜ, ΜΖ ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἀποτομὴ ἄρα ἐστὶν ἡ ΓΖ.

Λέγω δή, ὅτι καὶ τρίτη.

Ἐπεὶ γὰρ σύμμετρόν ἐστι τὸ ἀπὸ τῆς ΑΗ τῷ ἀπὸ τῆς ΗΒ, σύμμετρον ἄρα καὶ τὸ ΓΘ τῷ ΚΛ· ὥστε καὶ ἡ ΓΚ τῇ ΚΜ. καὶ ἐπεὶ τῶν ἀπὸ τῶν ΑΗ, ΗΒ μέσον ἀνάλογόν ἐστι τὸ ὑπὸ τῶν ΑΗ, ΗΒ, καί ἐστι τῷ μὲν ἀπὸ τῆς ΑΗ ἴσον τὸ ΓΘ, τῷ δὲ ἀπὸ τῆς ΗΒ ἴσον τὸ ΚΛ, τῷ δὲ ὑπὸ τῶν ΑΗ, ΗΒ ἴσον τὸ ΝΛ, καὶ τῶν ΓΘ, ΚΛ ἄρα μέσον ἀνάλογόν ἐστι τὸ ΝΛ· ἔστιν ἄρα ὡς τὸ ΓΘ πρὸς τὸ ΝΛ, οὕτως τὸ ΝΛ πρὸς τὸ ΚΛ. ἀλλ᾽ ὡς μὲν τὸ ΓΘ πρὸς τὸ ΝΛ, οὕτως ἐστὶν ἡ ΓΚ πρὸς τὴν ΝΜ, ὡς δὲ τὸ ΝΛ πρὸς τὸ ΚΛ, οὕτως ἐστὶν ἡ ΝΜ πρὸς τὴν ΚΜ· ὡς ἄρα ἡ ΓΚ προς τὴν ΜΝ, οὕτως ἐστὶν ἡ ΜΝ πρὸς τὴν ΚΜ· τὸ ἄρα ὑπὸ τῶν ΓΚ, ΚΜ ἴσον ἐστὶ τῷ [ἀπὸ τῆς ΜΝ, τουτέστι τῷ] τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ΖΜ. ἐπεὶ οὖν δύο εὐθεῖαι ἄνισοί εἰσιν αἱ ΓΜ, ΜΖ, καὶ τῷ τετάρτῳ μέρει τοῦ ἀπὸ τῆς ΖΜ ἴσον παρὰ τὴν ΓΜ παραβέβληται ἐλλεῖπον εἴδει τετραγώνῳ καὶ εἰς

---

1. τό] σύμμετρόν ἐστι τό Theon (BFVb). 2. Post ΗΒ del. τὸ ΖΛ V. ἀσύμμετρα — 3. ΗΒ] om. P. 2. ἀσύμμετρα — 5. ΖΛ] mg. m. 1 V. 2. ἄρα] om. b. ἐστιν ἄρα V. ἀπό]

uerum AH^2 et $AH^2 + HB^2$, $AH \times HB$ et $2\,AH \times HB$ commensurabilia sunt. itaque $AH^2 + HB^2$ et $2\,AH \times HB$ incommensurabilia sunt [prop. XIIII]. est autem

$$\Gamma\Delta = AH^2 + HB^2,\ Z\Delta = 2\,AH \times HB.$$

quare $\Gamma\Delta$, $Z\Delta$ incommensurabilia sunt. est autem $\Gamma\Delta : Z\Delta = \Gamma M : ZM$ [VI, 1]. quare ΓM, ZM longitudine incommensurabiles sunt [prop. XI]. et utraque rationalis est. itaque ΓM, MZ rationales sunt potentia tantum commensurabiles. ergo ΓZ apotome est [prop. LXXIII].

Iam dico, eandem tertiam esse. nam quoniam AH^2, HB^2 commensurabilia sunt, etiam $\Gamma\Theta$, $K\Delta$ commensurabilia sunt. quare etiam ΓK, KM commensurabiles sunt [VI, 1; prop. XI]. et quoniam $AH \times HB$ medium est proportionale inter AH^2 et HB^2 [prop. XXI lemma], et $\Gamma\Theta = AH^2$, $K\Delta = HB^2$, $N\Delta = AH \times HB$, etiam $N\Delta$ medium est proportionale inter $\Gamma\Theta$, $K\Delta$. itaque $\Gamma\Theta : N\Delta = N\Delta : K\Delta$. est autem

$$\Gamma\Theta : N\Delta = \Gamma K : NM,\ N\Delta : K\Delta = NM : KM$$

[VI, 1]. quare $\Gamma K : MN = MN : KM$. itaque [VI, 17] $\Gamma K \times KM = MN^2 = \frac{1}{4} ZM^2$. quoniam igitur duae rectae inaequales sunt ΓM, MZ, et $\frac{1}{4} ZM^2$ aequale rectae ΓM spatium adplicatum est figura quadrata deficiens et eam in partes commensurabiles diuidit,

---

ὑπό B. 4. $\Gamma\Lambda$] corr. ex $\Gamma\Delta$ m. rec. P. τῷ] τό V. 5. τό] (prius) mut. in τῷ V. 7. ΓM] $H\Gamma$ b. ZM] MZ P, ΓM b. 8. Post ZM eras. μή V. 9. MZ] ZM F. 12. σύμμετρος P, corr. m. rec. 13. ἄρα ἐστί V. $K\Lambda$] $\Gamma\Lambda$ P. 14. KM σύμμετρός ἐστι V. τῶν] (alt.) om. b. 15. ἐστι] (prius) ἐστιν P. 17. ὑπό] ἀπό F. 20. τὸν $K\Lambda$ P. 21. NM] MN bφ. 22. $K\Lambda$] NK? P. MN F. ὡς — 23. τὴν KM] punctis del. V. 23. MN] NM V. ἐστίν] om. V. MN] NM V. 24. ἀπό — 25. τῷ] mg. m. 1 P.

σύμμετρα αὐτὴν διαιρεῖ, ἡ ΓΜ ἄρα τῆς ΜΖ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ. καὶ οὐδετέρα τῶν ΓΜ, ΜΖ σύμμετρός ἐστι μήκει τῇ ἐκκειμένῃ ῥητῇ τῇ ΓΔ· ἡ ἄρα ΓΖ ἀποτομή ἐστι τρίτη.

Τὸ ἄρα ἀπὸ μέσης ἀποτομῆς δευτέρας παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν τρίτην· ὅπερ ἔδει δεῖξαι.

ϱʹ.

Τὸ ἀπὸ ἐλάσσονος παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν τετάρτην.

Ἔστω ἐλάσσων ἡ ΑΒ, ῥητὴ δὲ ἡ ΓΔ, καὶ τῷ ἀπὸ τῆς ΑΒ ἴσον παρὰ ῥητὴν τὴν ΓΔ παραβεβλήσθω τὸ ΓΕ πλάτος ποιοῦν τὴν ΓΖ· λέγω, ὅτι ἡ ΓΖ ἀποτομή ἐστι τετάρτη.

Ἔστω γὰρ τῇ ΑΒ προσαρμόζουσα ἡ ΒΗ· αἱ ἄρα ΑΗ, ΗΒ δυνάμει εἰσὶν ἀσύμμετροι ποιοῦσαι τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΗ, ΗΒ τετραγώνων ῥητόν, τὸ δὲ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ μέσον. καὶ τῷ μὲν ἀπὸ τῆς ΑΗ ἴσον παρὰ τὴν ΓΔ παραβεβλήσθω τὸ ΓΘ πλάτος ποιοῦν τὴν ΓΚ, τῷ δὲ ἀπὸ τῆς ΒΗ ἴσον τὸ ΚΛ πλάτος ποιοῦν τὴν ΚΜ· ὅλον ἄρα τὸ ΓΛ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΑΗ, ΗΒ. καί ἐστι τὸ συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΗ, ΗΒ ῥητόν· ῥητὸν ἄρα ἐστὶ καὶ τὸ ΓΛ. καὶ παρὰ ῥητὴν τὴν ΓΔ παράκειται πλάτος ποιοῦν τὴν ΓΜ· ῥητὴ ἄρα καὶ ἡ ΓΜ καὶ σύμμετρος τῇ ΓΔ μήκει. καὶ ἐπεὶ ὅλον τὸ ΓΛ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΑΗ, ΗΒ, ὧν τὸ ΓΕ ἴσον ἐστὶ

---

1. σύμμετρον P. ΜΖ] ΖΜ P. 3. μήκει] om. b. 4. ἐστιν P. 5. τό] corr. ex τῷ m. 2 F. ἀπό] m. 2 F. παρὰ ῥητήν] mg. m. 2 V. 6. ὅπερ ἔδει δεῖξαι] om. BFVb, comp. P.

ΓM^2 excedit MZ^2 quadrato rectae sibi commensurabilis. et neutra rectarum ΓM, MZ rationali propositae $\Gamma\Delta$ longitudine commensurabilis est. itaque ΓZ apotome est tertia [deff. tert. 3].

Ergo quadratum mediae apotomes secundae rectae rationali adplicatum latitudinem efficit apotomen secundam; quod erat demonstrandum.

C.

Quadratum minoris rectae rationali adplicatum latitudinem efficit apotomen quartam.

Sit AB minor, $\Gamma\Delta$ autem rationalis, et quadrato AB^2 aequale rationali $\Gamma\Delta$ adplicetur ΓE latitudinem efficiens ΓZ. dico, ΓZ apotomen quartam esse.



nam BH rectae AB congruens sit. itaque AH, HB potentia incommensurabiles sunt efficientes $AH^2 + HB^2$ rationale, $2AH \times HB$ autem medium [prop. LXXVI]. et quadrato AH^2 aequale rectae $\Gamma\Delta$ adplicetur $\Gamma\Theta$ latitudinem efficiens ΓK, et $K\Lambda = BH^2$ latitudinem efficiens KM. itaque totum $\Gamma\Lambda = AH^2 + HB^2$. et $AH^2 + HB^2$ rationale est. quare etiam $\Gamma\Lambda$ rationale est. et rationali $\Gamma\Delta$ adplicatum est latitudinem efficiens ΓM. itaque ΓM rationalis est et rectae $\Gamma\Delta$ longitudine commensurabilis [prop. XX]. et quoniam totum $\Gamma\Lambda = AH^2 + HB^2$,

---

11. *ἐλάσσων*] *ἐ*- in ras. m. 1 P. 14. *ἐστιν* P. *τετάρτη ἐστίν* V. 15. *γάρ*] m. 2 F. 16. HB] supra scr. m. 1 P. 19. *μέν*] om. V. 21. KM] ΓK b. 25. *καί*] om. Fb, *ἐστιν* V.

τῷ ἀπὸ τῆς ΑΒ, λοιπὸν ἄρα τὸ ΖΛ ἴσον ἐστὶ τῷ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ. τετμήσθω οὖν ἡ ΖΜ δίχα κατὰ τὸ Ν σημεῖον, καὶ ἤχθω διὰ τοῦ Ν ὁποτέρᾳ τῶν ΓΔ, ΜΛ παράλληλος ἡ ΝΞ· ἑκάτερον ἄρα τῶν ΖΞ, ΝΛ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΑΗ, ΗΒ. καὶ ἐπεὶ τὸ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ μέσον ἐστὶ καί ἐστιν ἴσον τῷ ΖΛ, καὶ τὸ ΖΛ ἄρα μέσον ἐστίν. καὶ παρὰ ῥητὴν τὴν ΖΕ παράκειται πλάτος ποιοῦν τὴν ΖΜ· ῥητὴ ἄρα ἐστὶν ἡ ΖΜ καὶ ἀσύμμετρος τῇ ΓΔ μήκει. καὶ ἐπεὶ το μὲν συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΗ, ΗΒ ῥητόν ἐστιν, τὸ δὲ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ μέσον, ἀσύμμετρα [ἄρα] ἐστὶ τὰ ἀπὸ τῶν ΑΗ, ΗΒ τῷ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ. ἴσον δέ [ἐστι] τὸ ΓΛ τοῖς ἀπὸ τῶν ΑΗ, ΗΒ, τῷ δὲ δὶς ὑπὸ τῶν ΑΗ, ΗΒ ἴσον τὸ ΖΛ· ἀσύμμετρον ἄρα [ἐστὶ] τὸ ΓΛ τῷ ΖΛ. ὡς δὲ τὸ ΓΛ πρὸς τὸ ΖΛ, οὕτως ἐστὶν ἡ ΓΜ προς τὴν ΜΖ· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΓΜ τῇ ΜΖ μήκει. καί εἰσιν ἀμφότεραι ῥηταί· αἱ ἄρα ΓΜ, ΜΖ ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἀποτομὴ ἄρα ἐστὶν ἡ ΓΖ.

Λέγω [δή], ὅτι καὶ τετάρτη.

Ἐπεὶ γὰρ αἱ ΑΗ, ΗΒ δυνάμει εἰσὶν ἀσύμμετροι, ἀσύμμετρον ἄρα καὶ τὸ ἀπὸ τῆς ΑΗ τῷ ἀπὸ τῆς ΗΒ. καί ἐστι τῷ μὲν ἀπὸ τῆς ΑΗ ἴσον τὸ ΓΘ, τῷ δὲ ἀπο τῆς ΗΒ ἴσον τὸ ΚΛ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ ΓΘ τῷ ΚΛ. ὡς δὲ τὸ ΓΘ πρὸς τὸ ΚΛ, οὕτως ἐστὶν ἡ ΓΚ πρὸς τὴν ΚΜ· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΓΚ τῇ ΚΜ μήκει. καὶ ἐπεὶ τῶν ἀπὸ τῶν ΑΗ, ΗΒ μέσον ἀνάλογόν ἐστι τὸ ὑπὸ τῶν ΑΗ, ΗΒ, καί ἐστιν ἴσον τὸ μὲν ἀπὸ τῆς ΑΗ τῷ ΓΘ, τὸ δὲ ἀπὸ τῆς ΗΒ τῷ ΚΛ,

---

1. τῷ] (alt.) τῶν P. 2. οὖν] οὖν καί P. 3. τοῦ Ν σημείου V. 5. τῶν] om. P. 6. τῷ] corr. ex τό m. 1 B.

